Τῷ σαββάτῳ τῆς ἀποκρέου, ἀργία καὶ λύσις πάντων.

Τῷ σαββάτῳ τῆς τυρινῆς, ἀργία καὶ κατάλυσις πάντων.

Τῷ σαββάτῳ πρώτῳ τῶν νηστειῶν. ἀργία πάντων, καὶ κατάλυσις οἴνου καὶ ἐλαίου.

Τῇ πέμπτῃ τοῦ μεγάλου κανόνος, κατάλυσις τῆς νηστείας.

Τῇ παρασκευῇ τῆς ἀκαθίστου, κατάλυσις ὁμοίως.

Τῇ μεγάλῃ πέμπτῃ, λύσις τῆς νηστείας.

Χρὴ δὲ καὶ τοῦτο εἰδέναι, ὅτι τὰς καταλύσεις τῆς νηστείας τὰς ἐν ταῖς τῶν ἁγίων μνήμαις δηλουμένας, ἐν τοῖς κοινοβίοις παρατηροῦνται καὶ καταλύουσιν. αἱ δὲ λαῦραι καὶ τῶν [illegible] καθ' ἑαυτοὺς ζώντων, φυλάττειν καὶ νηστεύειν ὀφείλωσι. καὶ εἰς μόνας τὰς δεσποτικὰς ἑορτὰς καταλύειν. ἴσως δὲ εἰ βούλονται καὶ τὴν πεντηκοστὴν. καὶ τὸ δωδεκαήμερον, εἰς ἔλαιον καὶ οἶνον μόνον.

Περιέχουσι δὲ τὰ τυπικά. ἵνα ἐν τῇ νηστείᾳ τῶν ἁγίων ἀποστόλων, καὶ τῶν Χριστοῦ γεννῶν, γίνεσθαι κατάλυσιν ἐλαίου καὶ οἴνου, τῇ τρίτῃ, καὶ πέμπτῃ ἡμέρᾳ ὡς ἤδη προειρήκαμεν. οὐ μέντοιγε καὶ εἰς ἰχθύας. εἰ μὴ τύχῃ ἐν ταύταις ταῖς δυσὶν ἡμέραις, μνήμη ἁγίων, πάνυ μεγάλων καὶ ἐπισήμων. δεῖ οὖν καὶ τοῦτο ἐν τῷ κοινῷ γίνεσθαι, ἐν δὲ τοῖς καθεζομένοις ἰδίᾳ, οὐχ ἔλαιον καὶ οἶνος βρωθήσεται παρ' αὐτοῖς. εἰ μὴ τύχῃ ἐν ταύταις ἐπισήμη μνήμη ἁγίου, τῶν πάνυ μεγάλων. ἢ τυχὸν, δι' ἀσθένειαν σώματος ἢ γῆρας, ἢ ἀδυναμίας. ταῦτα πάντα πατέρες καὶ ἀδελφοί, οὐχ ἁπλῶς καὶ ὡς ἔτυχεν ἐπι[illegible] παρ' ἑαυτῶν, ὡς ἄν τις οἰηθείη. ἀλλὰ διαφόροις ἐντυχόντες τυπικοῖς, τὴν πραγματείαν τοῦ λόγου, διὰ τὴν ὑπακοὴν ἐποιησάμεθα. καὶ ὡς βούλεσθε πράττετε ἀδελφοί. μόνον εὔχεσθε ὑπὲρ ὑμῶν ἀδιαλείπτως.

Ἀναγκαῖον ἐστὶν ὦ πατέρες καὶ ἀδελφοί, τὸ φυλάττειν ὅλον τὸν χρόνον τὰς τρεῖς ἡμέρας, διὰ ξηροφαγίας, ἅπαξ τῆς ἡμέρας, χωρὶς οἴνου καὶ ἐλαίου, τετράδα καὶ παρασκευή, σὺν τῇ δευτέρᾳ. καθὼς λέγει θεόφιλος ὁ ἀλεξανδρείας. οὐκ ἔστι γὰρ ἡ βασιλεία τοῦ θεοῦ, βρῶσις καὶ πόσις.

Ὅταν οὖν λέγει ἐν τετράδι καὶ παρασκευῇ, καὶ τύχῃ ἁγίου ἐπισήμου μνήμη, κατάλυσις γίνεται, οἴνου καὶ ἐλαίου.

Εἰ παρ[illegible]μὴ ἢ [illegible] δεσποτικῆς ἑορτῆς, τετράδα συναντήσειεν, ἢ παρασκευῇ, οὐ χρὴ καταλύειν τὴν νηστείαν τῇ ἑσπέρᾳ, διὰ τὴν ἐπιοῦσαν ἑορτήν. κατὰ τοὺς κανόνας τῶν ἁγίων ἀποστόλων. αὐτοὶ γὰρ ἐνομοθέτησαν τὴν τοιούτων ἡμερῶν τὴν νηστείαν. καὶ μετ' αὐτῶν οἱ ἅγιοι πατέρες πάντες ὁμοίως.

Καταλύομεν καὶ τὴν πρὸ τῆς ἀποκρέου ἅπασαν ἑβδομάδα, διὰ τὸ πονηρὸν ἔθος τῶν ἀρμενίων ἄστατον, ἐντεῦθεν τιθέμενοι. νηστεύουσι γὰρ οὗτοι διὰ τὴν ἀπώλειαν κυνός, ὃν ἐπονόμαζον τῷ κυνὶ ἀρτζιβούριος. διὰ τὸ προϊέμενοι καὶ μηνύειν ἐν πόλεσι καὶ κώμαις, τὴν ἐπιδημίαν τοῦ διδασκάλου αὐτοῦ σεργίου. τὸ γὰρ ἀρτζιβούριος τῇ τῶν ἀρμενίων διαλέκτῳ, μανδάτωρ ἑρμηνεύεται. ὃν πενθήσας ὁ σέργιος ὑπὸ θηρίων βρωθέντα, ἐπέσκηψε πᾶσι τοῖς ἀρμενίοις νηστεύειν ἐν ταύταις ταῖς ἡμέραις, ὑπὲρ τῆς τοῦ κυνὸς πλάνης. καὶ κατηφεῖν ἐπισήμως καὶ σκυθρωπάζειν. οἱ καὶ

συγκα-

συγκαλύπτειν τὸ αἰσχρὸν μηχανώμενοι, εἰς ἀνάμνησιν τῆς τῶν νινευιτῶν νηστείας ἰσχυρίζοντες ταύτην ἐπιτελεῖν.

Φησὶ γὰρ ὁ μέγας Ἀθανάσιος, μὴ καταλύειν νηστείαν κυρίου, ἐν ἰχθύσι τε καὶ ἐλαίῳ, εἰ μήπως ἐπὶ νόσου βεβαίᾳ σου, ἤγουν τετράδα καὶ παρασκευήν. ὁ γὰρ καταλύων ταύτας, συσταυροῖ τὸν Χριστόν, ὥσπερ καὶ Ἰουδαῖοι. ἐν γὰρ τῇ τετράδι παρέδωσαν αὐτόν. καὶ ἐν τῇ παρασκευῇ ἐσταύρωσαν. εἰ μὴ ἐν μόνοις τοῖς τῶν ἐπιφανείων, καὶ ἐν τοῖς ἐν τῇ πεντηκοστῇ. ταύτας γὰρ ὁ καταλύων, ἀνεύθυνος ἔστω.

## Περὶ ἐγκρατείας καὶ γαστριμαργίας.

Πίνε τὸν οἶνον ἐλάχιστον. ὅσον γὰρ κολοβοῦται, τοσοῦτον εὐεργετεῖ τοὺς πίνοντας. μόνα δίδου τῇ γαστρί, ἃ χρήζει λαβεῖν. οὐχὶ γὰρ ὅσα βούλεται. λόγῳ τοίνυν λαμβάνων, καὶ λόγῳ ἀπεχόμενος, οὐχ ἁμαρτήσεις. ἄμεινον γὰρ ἡ μετὰ λόγου οἰνοποσία, τῆς μετὰ τύφου ὑδροποσίας. καὶ βλέπε μοι τοὺς μετὰ λόγου τὸν οἶνον πίνοντας ἄνδρας ἁγίους. καὶ τοὺς ἄνευ λόγου ὑδροποτήσαντας ἀνθρώπους βεβήλους. μηκέτι ψέξῃς, ἢ ἐπαινέσῃς τὴν ὕλην. ἀλλὰ μακαρίσῃς, ἢ ταλανίσῃς τὴν γνώμην τῶν καλῶς ἢ κακῶς αὐτῇ χρωμένων. ἔπιεν ποτὲ Ἰωσὴφ παρ' Αἰγυπτίοις οἶνον, ἀλλ' οὐκ ἐβλάβη τὴν φρένα. ἠσφαλίσατο γὰρ τὴν γνώμην. ὑδροπότησε δὲ Πυθαγόρας καὶ Διογένης καὶ Πλάτων, ἐν οἷς καὶ Μανιχαῖοι, καὶ τὸ λοιπὸν σύστημα τῶν ἐθελοφιλοσόφων. καὶ εἰς τοσοῦτον ἤλασαν κουφοδοξίας, ὡς καὶ τὸν θεὸν ἀγνοῆσαι, καὶ προσκυνῆσαι εἴδωλα. ὃν γὰρ τρόπον ὠφελεῖ ἡ νηστεία τοὺς μετὰ λόγου αὐτῇ προσιόντας, οὕτως βλάπτει τοὺς ἀλόγως αὐτὴν μετερχομένους.

Οὐ τὸ βραδυφαγῆσαι, τοῦτο μόνον νηστεία ἐστίν. ἀλλὰ τὸ βραχυφαγῆσαι. καὶ οὐ τὸ διὰ δύο ἐσθίειν, τοῦτο ἄσκησίς ἐστιν ἀλλὰ καὶ τὸ μὴ ποικιλοφαγῆσαι. ἄσκησις γάρ ἐστι. τράπεζα, ἐν μονοειδεῖ τροφῇ συνισταμένη. τὸ ἔκλυτον τῆς πολυτροφίας, ὡς ἀηδὲς βδελυσσομένη. ἄσκει οὖν τοσοῦτον, ὅσον κωλῦσαι τῆς σαρκὸς τὰ κινήματα. ἐὰν δὲ ἀσθενῇς, πρὸς ὑγείαν τὸ σῶμα, καὶ μὴ πρὸς τρυφὴν θεράπευε.

Οὐ μόνον κραιπάλη οἴνου τὴν διάνοιαν μεθύσκειν εἴωθεν. ἀλλὰ καὶ πλησμονὴ ὕδατος. καὶ πασῶν τροφῶν ὑπερβολή, κεκαρωμένην καὶ νυστάζουσαν ταύτην ἀποτελεῖ. ἡ γὰρ σύμμετρος καὶ μετὰ λόγου τῶν τροφῶν μετάληψις, τῆς ὑγείας φροντίζει τοῦ σώματος. οὐ τὴν ἁγιωσύνην ἀφαιρεῖται. εἰς μάτην τοίνυν ἐν νηστείᾳ καὶ ἀγρυπνίᾳ καὶ ταῖς λοιπαῖς ἀρεταῖς ἐγκαυχώμεθα, ἕως οὗ τὴν πρὸς θεὸν ἀγάπην καὶ τὸν πλησίον κατορθώσομεν. ὁ γὰρ κατορθώσας τὴν πρὸς τὸν πλησίον ἀγάπην, ἐν ἑαυτῷ ἔχει τὸν θεόν. αἱ γὰρ ἀκρότητες ἑκατέρων τῶν μερῶν, ἐπίσης βλάπτουσι. Καὶ ἡ τῆς νηστείας ὑπερβολή. Καὶ ἡ τῆς γαστρὸς χορτασία. καὶ ἡ τῆς ἀγρυπνίας ἀμετρία. καὶ ὁ τοῦ ὕπνου κόρος. καὶ αἱ λοιπαὶ ὑπερβολαί. καὶ γὰρ ἔγνωμεν τινας, διὰ γαστριμαργίας μέν, μὴ ἐπιθεμένους [illegible]

...τρου νηστείας καταβληθέντας. καὶ πρὸς τὸ πάθος τῆς γαστριμαργίας ὀλισθήσαντας, διὰ τὴν προσγενομένην ἐκ τῆς ἀμετρίας ἀσθένειαν.

## Βίοι τῶν τεσσάρων εὐαγγελιστῶν, ἐκ τῆς τοῦ Δωροθέου μάρτυρος, καὶ Τυρίων ἐπισκόπου συνόψεως.

Ματθαῖος ὁ εὐαγγελιστής, τὸ εὐαγγέλιον τοῦ κυρίου Ἰησοῦ Χριστοῦ τῇ Ἑβραΐδι διαλέκτῳ συνέγραψε, καὶ ἐκδέδωκεν αὐτὸ, εἰς Ἱερουσαλὴμ, Ἰακώβῳ τῷ ἀδελφῷ τοῦ κυρίου, τῷ κατὰ σάρκα, ἐπισκόπῳ ὄντι τῆς Ἱερουσαλήμ. ἐκοιμήθη δὲ ἐν Ἱεραπόλει τῆς Παρθίας, καὶ ἐκεῖ θάπτεται ἐνδόξως.

Μάρκος ὁ εὐαγγελιστής, καὶ πρῶτος Ἀλεξανδρείας ἐπίσκοπος, Ἀλεξανδρεῦσι καὶ πάσῃ τῇ περιχώρῳ αὐτῆς ἐκήρυξε τὸ εὐαγγέλιον τοῦ κυρίου, ἀπὸ Αἰγύπτου καὶ μέχρι Πενταπόλεως. ἐπὶ δὲ τῆς βασιλείας Τραϊανοῦ, ἐν Ἀλεξανδρείᾳ, κάλον λαβὼν κατὰ τοῦ τραχήλου καὶ συρεὶς ἀπὸ τῶν καλουμένων Βουκόλου τόπων, ἕως τῶν καλουμένων ἀγγέλων, ἐκεῖ ἐκάη πυρὶ, ὑπὸ τῶν εἰδωλολατρῶν, μηνὶ Φαρμουθὶ λεοος [?], καὶ ἐκεῖ ἐτάφη ἐν τοῖς Βουκόλου.

Λουκᾶς ὁ εὐαγγελιστής, Ἀντιοχεὺς μὲν τὸ γένος ἦν, ἰατρὸς δὲ τὴν τέχνην. συνεγράψατο δὲ, τὸ μὲν εὐαγγέλιον, κατ᾽ ἐπιτροπὴν Πέτρου τοῦ ἀποστόλου. τὰς δὲ πράξεις τῶν ἀποστόλων, κατ᾽ ἐπιτροπὴν Παύλου τοῦ ἀποστόλου. συναπεδήμησε γὰρ τοῖς ἀποστόλοις, καὶ μάλιστα τῷ Παύλῳ. οὗ καὶ μνημονεύσας ὁ Παῦλος ἔγραψεν ἐν ἐπιστολῇ. ἀσπάζεται ὑμᾶς Λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητὸς ἐν κυρίῳ. ἀπέθανε δὲ ἐν Ἐφέσῳ, καὶ ἐτάφη ἐκεῖ. μετετέθη δὲ ὕστερον ἐν Κωνσταντινουπόλει μετὰ καὶ Ἀνδρέα καὶ Τιμοθέου τῶν ἀποστόλων, κατὰ τοὺς καιροὺς Κωνσταντίνου βασιλέως, υἱοῦ Κωνσταντίνου τοῦ μεγάλου.

Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ, ὁ καὶ εὐαγγελιστὴς τοῦ κυρίου γενόμενος, ὃν καὶ ἠγάπα ὁ κύριος. ἐν μὲν τῇ Ἀσίᾳ ἐκήρυξε τὸ εὐαγγέλιον τοῦ Χριστοῦ. ὑπὸ δὲ Τραϊανοῦ βασιλέως ἐξωρίσθη ἐν τῇ νήσῳ Πάτμῳ, διὰ τὸν λόγον τοῦ κυρίου. ἐκεῖ δὲ ὢν, καὶ τὸ ἅγιον εὐαγγέλιον ἔγραψε, καὶ ἐξέδωκεν ἐν Ἐφέσῳ, διὰ Γαΐου τοῦ ξενοδόχου καὶ διακόνου, ᾧ καὶ Παῦλος μαρτυρεῖ λέγων Ῥωμαίοις. ἀσπάζεται ὑμᾶς Γάϊος ὁ ξένος μου καὶ ὅλης τῆς ἐκκλησίας. μετὰ δὲ τὴν τελευτὴν [?] τὴν Τραϊανοῦ ἐπάνησιν [?] ἀπὸ τῆς νήσου ὁ μακάριος Ἰωάννης, καὶ παραμένει ἐν Ἐφέσῳ, καὶ ἔζησεν ἔτη, ρκ'. καὶ μετὰ ταῦτα ζῶν ἑαυτὸν ἐκεῖ ἔθαψε θεοῦ βουλήσει. εἰσὶ δὲ οἱ λέγουσι, μὴ ἐπὶ Τραϊανοῦ αὐτὸν ἐξωρίσθαι εἰς Πάτμον, ἀλλὰ ἐπὶ Δομετιανοῦ, υἱοῦ Οὐεσπασιανοῦ.

## Δήλωσις διαλαμβάνουσα τὴν τῶν εὐαγγελίων ἀνάγνωσιν, καὶ τὴν τῶν εὐαγγελιστῶν διαδοχήν. πόθεν τε ἄρχονται καὶ ποῦ καταλήγουσιν.

Ἰστέον ὅτι, ἀναγινώσκεται τὸ ὕφος τοῦ κατὰ Ἰωάννην εὐαγγελίου, ἑβδομάσιν ὅλαις ἑπτὰ, ἀριθμουμέναις, ἀπὸ τῆς μεγάλης κυριακῆς τοῦ πάσχα, χωρὶς τινῶν ἡμερῶν τριῶν.

Τὸ δὲ κατὰ Ματθαῖον, ἅγιον εὐαγγέλιον ἀναγινώσκε-

ἀναγνώσκεται ἀπὸ τῆς, β΄, τῆς μετὰ τὴν πεντηκοστὴν, ἤγουν τοῦ ἁγίου πνεύματος, ἄχρι τῆς μετὰ τὴν ὕψωσιν παρασκευῆς. κυκλοῦται δὲ ἐν ἑβδομάσιν, ιζ΄. ὧν αἱ μὲν, ια΄, ἔχουσι τὸν ματθαῖον καθεκάστην ἀναγνωσκόμενον. ἀπὸ δὲ τῆς, ιβ΄, ἑβδομάδος, ἀναγνώσκεται τὸ κατὰ μάρκον εὐαγγέλιον ἐν ταῖς, ε΄, ἡμέραις. ἐν δὲ τοῖς σάββασι καὶ τῇ κυριακῇ, ἀναγνώσκεται πάλιν ὁ ματθαῖος, ἄχρι τε τῶν, ιζ΄, ἑβδομάδων. ἡ δὲ, ιζ΄, ἑβδομὰς τοῦ ματθαίου, εἴπερ γένηται ἔσω πάσχα, εἰ δὲ ἔξω πάσχα, οὐδαμῶς. εἰ γοῦν μέλλει ἀναγνώσκεσθαι καὶ ἤτοι αὕτη, ιζ΄, ἑβδομὰς, ἀναποδίζεις ὄπισθεν. καὶ ὅθεν θέλεις ἀνάγνωθι τὰς πέντε ἡμέρας. εἰ δ᾽ ἄρα διὰ τὸ μηκύνεσθαι τὸ πάσχα λείψει καὶ εἰς τὸν λουκᾶν σαββάτου καὶ κυριακὴν, ἀναγνώσκεται ἐκεῖ, ιζ΄, κυριακὴ τοῦ ματθαίου, ἡ τῆς χαναναίας πρὸ τοῦ ζακχαίου.

Τὸ δὲ κατὰ λουκᾶν ἅγιον εὐαγγέλιον, ἀναγνώσκεται ἀπ᾽ ἀρχῆς δευτέρας τῆς μετὰ τὴν ὕψωσιν κυριακῆς, καὶ ἐν ὅλαις ἑβδομάσιν, ιβ΄, ἀπ᾽ ἀρχῆς δὲ τῆς, ιγ΄, ἑβδομάδος, ἀναγνώσκεται τὸ κατὰ μάρκον, ἐν ταῖς ἡμέραις. ἐν δὲ τοῖς σάββασι καὶ ταῖς κυριακαῖς, πάλιν ὁ λουκᾶς.

Τὸ δὲ κατὰ μάρκον ἅγιον εὐαγγέλιον, ὅσον μὲν ἀναγνώσκεται ἀναμεταξὺ ματθαίου καὶ λουκᾶ. τὸ ὑπόλοιπον ἀναγνώσκεται ἐν τῇ τεσσαρακοστῇ, ἐν τοῖς σάββασι καὶ ταῖς κυριακαῖς.

Ἰστέον, ὅτι, τέσσαρα εἰσὶ τὰ εὐαγγέλια, καὶ οὔτε πλείονα οὔτε ἐλάττονα. ἐπείπερ τέσσαρα καθολικὰ πνεύματα. καὶ τέσσαρα τὰ εὐαγγέλια πανταχόθεν πνέοντα τὴν ἀφθαρσίαν, καὶ ἀναζωπυροῦντα τοὺς ἀνθρώπους. ἐξ ὧν φανερὸν ὅτι ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ φανερωθεὶς τοῖς ἀνθρώποις. καθὼς φησὶν ὁ δαβίδ. ἔδωκεν ἡμῖν τετράμορφον τὸ εὐαγγέλιον. καὶ γὰρ τὰ χερουβὶμ τετραπρόσωπα. καὶ τὰ πρόσωπα αὐτῶν εἰκόνες τῆς πραγματείας τῆς τοῦ υἱοῦ τοῦ θεοῦ. τὸ γὰρ ὅμοιον λέοντι, τὸ ἔμπρακτον καὶ βασιλικὸν καὶ ἡγεμονικὸν χαρακτηρίζει. τὸ δὲ ὅμοιον μόσχῳ, τὴν ἱερουργικὴν ἐμφαίνει. τὸ δὲ ἀνθρωποειδὲς, τὴν σάρκωσιν διαγράφει. τὸ δὲ ὅμοιον ἀετοῦ, τὴν ἐπιφοίτησιν τοῦ ἁγίου πνεύματος ἐμφανίζει.

Τυπ.

## Τοῦ ἁγίου μαξίμου τοῦ μάρτυρος καὶ ὁμολογητοῦ, περὶ τῶν τριάκοντα ἀργυρίων.

Ἰστέον ὅτι περ λεπτὰ καλοῦνται τὰ ἀσσάρια, ἤγουν τὰ νουμμία. ἑξήκοντα δὲ ἀσσαρίων ὑπῆρχε τότε τὸ δηνάριον. ἑκατὸν δὲ δηναρίων ὑπῆρχεν ὁ ἄργυρος. καὶ πέπρακται ὁ κύριος ἡμῶν ἰησοῦς χριστὸς, εἰς τριάκοντα ἀργύρια, ἅτινα συνάγονται τρισχίλια δηνάρια. γινόμενα ἐν χρυσῷ, νομίσματα ἑκατὸν ὥστε γίνεσθαι τὰ ἑκατὸν νομίσματα, ἀργύρια τριάκοντα.

## Περὶ τοῦ πῶς δεῖ πιστεύειν.

Πιστεύειν, εἰς πατέρα, υἱὸν καὶ ἅγιον πνεῦμα, τριάδα ὁμοούσιον. τρεῖς ὑποστάσεις

αὐτὴν θεότητα. ὁμολογεῖν δὲ τὴν σάρκωσιν τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ τὰ τῆς σαρκὸς αὐτοῦ ἴδια. καὶ δέχεσθαι τὰς ἁγίας καὶ οἰκουμενικὰς ἑπτὰ συνόδους. καὶ τὰ δόγματα αὐτῶν, καὶ τοὺς ὅρους αὐτῶν ἐν τούτοις.

Περὶ τοῦ τί κοινὸν τῆς τριάδος. καὶ τί ἴδιον τῶν ὑποστάσεων τῆς τριάδος.

Κοινὸν τῆς τριάδος, ἡ οὐσία. ἡ θεότης. ἡ ἀγαθότης. ἡ βασιλεία. ἡ ἐξουσία. ἡ δυναστεία. ἡ ποιητικὴ δύναμις. καὶ ἡ πρόνοια πάσης τῆς κτίσεως. ἴδιον δὲ τῶν ὑποστάσεων, πατρὸς μὲν, τὸ εἶναι πατέρα. οὐδὲ γὰρ υἱὸς ὁ πατήρ. υἱοῦ δὲ, τὸ εἶναι υἱόν. οὐδὲ γὰρ πατὴρ ὁ υἱός. πνεύματος ἁγίου, αὐτὸ τὸ εἶναι πνεῦμα ἅγιον. καὶ μήτε πατέρα. μήτε υἱόν. ἴδια δὲ καὶ ταῦτα τοῦ λόγου. τουτέστι, τὸ ἄνθρωπον γενέσθαι. τὸ παθεῖν σαρκί. τὸ ἀναστῆναι ἐκ νεκρῶν, καὶ ἀνελθεῖν εἰς οὐρανούς, καὶ καθεσθῆναι ἐν δεξιᾷ τοῦ πατρός. καὶ μέλλειν ἔρχεσθαι κρῖναι ζῶντας καὶ νεκρούς, ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ [illegible] στολῇ τοῦ σταυροῦ, καὶ ἀνακαινισμῷ τῆς κτίσεως, καὶ τότε ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

Περὶ τοῦ πῶς δεῖ προσκυνεῖν τὸν θεόν.

Ἐπειδὴ πνεῦμα ὁ θεός, καθὼς ὁ κύριος εἶπε. καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. οἱ γὰρ ἀληθινοὶ προσκυνηταί, οὕτω προσκυνοῦσι τὸν θεὸν ἐν πνεύματι καὶ ἀληθείᾳ. ὁ γὰρ ἀόρατος, ἀοράτως λατρεύεται. τουτέστι διὰ τοῦ ἐν ἡμῖν νοεροῦ πρὸς τὸ θεωρητικὸν ἀναγομένων ἡμῶν. καὶ οὕτως εἰς δύναμιν τιμῶμεν [illegible] θεόν, καὶ τὴν λατρείαν αὐτῷ προσφέρομεν. καὶ ὡς πανταχοῦ ὄντι, καὶ πᾶσι παρόντι, καὶ πᾶσιν ἐξ ἴσου παρέχοντι. οὕτως ἡμῶν διακειμένων πρὸς αὐτὸν, καὶ πᾶν νόημα αἰχμαλωτιζόντων εἰς τὴν ὑπακοὴν αὐτοῦ, καὶ τὴν μέριμναν πᾶσαν ἐπ' αὐτῷ τιθέντων. ὅτι αὐτῷ μέλει περὶ ἡμῶν, τὴν ἀληθινὴν προσκύνησιν ποιούμεθα.

Περὶ τοῦ, τί ἐστι πίστις.

Πίστις ἐστὶν, ἐλπιζομένων ὑπόστασις. πραγμάτων ἔλεγχος οὐ βλεπομένων. ὃ γὰρ βλέπει τίς, τί καὶ ἐλπίζει. εἰ δὲ ὃ οὐ βλέπομεν ἐλπίζομεν, δι' ὑπομονῆς ἀπεκδεχόμεθα. πιστεῦσαι γὰρ πρῶτον δεῖ τὸν προσερχόμενον, ὅτι ἔστι θεός. καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν, μισθαποδότης γίνεται. ἥτις οὐ διὰ σχημάτων μόνον. ἀλλὰ καὶ διὰ πραγμάτων ἀληθείας καὶ τελείας πληροφορίας καὶ βεβαιότητος, καὶ δι' ἔργων δικαιοσύνης ἐνεργεῖται. πληροφορουμένου τοῦ πιστοῦ, ὅτι καὶ τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, καὶ τὰ παρελθόντα, καὶ τὰ μέλλοντα, καὶ τὰ ἐνεστῶτα, καὶ τὰ βάθη τῶν καρδιῶν ὁρᾷ ὁ θεός, καὶ πάντα αὐτὸς κυβερνᾷ καὶ πράττει καὶ προνοεῖται πάντων ὡς βούλεται. καὶ διοικεῖται πάντα ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ.

Περὶ τοῦ, τί ἐστι χριστιανός.

Χριστιανός ἐστιν, ὁ κατὰ Χριστὸν ζῶν. καὶ ζῶντα ἔχων αὐτὸν ἐν ἑαυτῷ. καὶ φυλάττων αὐτοῦ τὰς ἐντολὰς πάσας. καὶ ζῶν ὡς αὐτὸς διετάξατο. καὶ μιμητὴς αὐτοῦ εἰς δύναμιν γινόμενος. καὶ μηδέποτε τὸν νοῦν αὐτοῦ μεθιστῶν ἐξ αὐτοῦ.

Χριστιανός ἐστιν, ὁ τὴν ὁμολογίαν τῆς πίστεως βεβαίως κατέχων. καὶ φυ-

λαξ

λαξ ὑπάρχων τῶν ἀληθινῶν δογμάτων ἀκριβέστατος. ὁ βέβαια καὶ πιστὰ ἡγούμενος πάντα τὰ λεχθέντα ὑπὸ τοῦ κῦ, καὶ προσταχθέντα, καὶ ποιῶν τὰ ὑποτεταγμένα ὑπ' αὐτοῦ. ὁ πάντοτε ἕτοιμος ὢν ἀποθνήσκειν ὑπὲρ αὐτοῦ. καὶ τὴν παρουσίαν αὐτοῦ ἐκδεχόμενος. καὶ ἔτι παντὶ καιρῷ ἄτρεπτος μένων καὶ μὴ σαλευόμενος ἐκ τῆς πίστεως αὐτοῦ. μήτε ἐν τοῖς δυσχερέσι καὶ περιστατικοῖς πράγμασι, μήτε ἐν τῇ τῶν ἀνθρώπων τοῦ χῦ αὐξήσει καὶ πλουσίᾳ διαίτῃ σκανδαλιζόμενος. μήτε ἐν τῷ διωγμῷ τῶν πιστῶν καταπίπτων, ἢ περιτρέπων τὴν ἑαυτοῦ γνώμην ἀπ' αὐτοῦ. διότι κρίσεις τοῦ κυρίου δίκαια περὶ πάντων ῥύτων :—

Τί ἐστιν οὐσία. καὶ τί σημαίνει τὸ ταύτης ὄνομα.

Ἡ οὐσία, τὸ κοινὸν πρᾶγμα σημαίνει τὸ ταύτης ὄνομα. οὐσία γὰρ καὶ φύσις, ταυτόν ἐστιν. ἥτις οὖσα ἐστὶ πάντοτε οὐκ ἔστιν οὐσία καὶ ὑπάρχουσα, καὶ ἀμετάπτωτος μένουσα. τὸ γὰρ φύσει πεφυκὸς, οὐ μεθίσταται. οὔτε γὰρ μετατρέπεται ἡ οὐσία, ἀλλ' ἔστι καὶ μένει διὰ παντὸς. ἔχουσα τὴν οἰκείαν δύναμιν ἀμετάβλητον. ἐν τῷ καιρῷ γνωριζομένη καὶ ὁμοδυναμοῦσα κατὰ πάντα τῇ φύσει :—

Διατί λέγεται ὁ θεὸς, θεός.

Θεὸς λέγεται, διὰ τὸ ἀφορᾶν αὐτὸν τὰ πάντα ὑφ' ἕν, θεορεῖν ὁμοῦ πάντων τὰς κινήσεις. καὶ ἐμβατεύειν εἰς τὰς πάντων καρδίας. ἑκάστου ἔννοιαν ἐπιστάμενος. καὶ πρὸ τῆς πλάσεως πάντας γινώσκων. καὶ πάντας πρὸ τῆς πλάσεως θεωρῶν. καὶ σείων τὰ πάντα καὶ μεταφέρων, καὶ σαλεύων τῇ ἀσέκτῳ δυνάμει. καὶ



διήκων διὰ πάντων. λέγεται δὲ καὶ διὰ τοῦτο θεὸς, διὰ τὸ τεθεικέναι τὰ πάντα, θεᾶσθαι αὐτά. καὶ ἐπειδὴ λέγεται καὶ πῦρ καταναλίσκων ὁ θεὸς διὰ τὸ τῇ ἐκπυρώσει τῆς θεώσεως, τὰς πάντων ἐκθερμαίνειν καρδίας, ἐκκαίειν αὐτὰς εἰς τὸν ἑαυτοῦ πόθον καὶ ζήτησιν. καὶ διὰ τὴν πρὸς τοὺς ἁμαρτάνοντας τιμωρίαν. ἢ καὶ τιμωρητικὴν αὐτοῦ δύναμιν, καθὼς καὶ εἴρηται, ὅτι πῦρ ὁ θεὸς. καὶ πῦρ καταναλίσκων, τὴν μοχθηρὰν ἕξιν τῶν ἐναντίων :—

Διατί λέγεται κς, ὁ κς.

Κύριος λέγεται, ὅτι κυριεύει πάσης τῆς γῆς, καὶ πάσης ἀναπνοῆς, ἤγουν πάσης τῆς κτίσεως. οὗ ἡ κυρεία ἀπέραντος. καὶ διὰ τοῦτο κς ὄνομα αὐτῷ. μόνος γὰρ αὐτός ἐστι φύσει κς. μὴ ἔχων ἄνωθεν αὐτοῦ κυρείαν ἄλλην. ἅπαντες γὰρ τῷ κράτει αὐτοῦ ὑποκείμεθα. καὶ αὐτῷ κάμπτει πᾶν γόνυ. ὅτι τὰ σύμπαντα δοῦλα αὐτοῦ ἐστιν, τῇ παντοκρατορικῇ αὐτοῦ δουλούμενα ἐξουσίᾳ :—

Διατί λέγεται δεσπότης ὁ θεός.

Ὅτι δεσπόζει ἐν τῇ δυναστείᾳ αὐτοῦ, τοῦ αἰῶνος. καὶ ἀπὸ περάτων ἕως περάτων, μόνος ὑμνεῖται καὶ δοξάζεται ὡς δεσπότης ἀΐδιος. καὶ πάντες τὸν δοῦλον αὐχένα, τούτῳ ὑποκλίνομεν καὶ εὐχόμεθα, μηδέποτε ξενωθῆναι τῆς δεσποτείας αὐτοῦ. δεσπότης γὰρ ἀγαθὸς, αὐτός ἐστιν, καὶ δεσπότης ἀληθής. μὴ λαβὼν ὑφ' ἑτέρου τὴν δεσποτείαν. μήτε ἐπίκτητον ταύτην κεκτημένος. ἀλλ' αἰώνιον, καὶ μὴ διαχεομένην ὑπό τινος. ἀλλ' ἀπλάνητον καὶ ἀπέραντον ὑπάρχουσαν :—

Διατί λέγεται φῶς, καὶ ὁδὸς, καὶ ζωὴ, καὶ θύρα, ὁ θεός;

Φῶς λέγεται, ὅτι ἡμᾶς τοὺς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένους τῆς ἀγνωσίας, τοὺς αἰχμαλώτους καὶ ἀγνώμονας, περιαστράψας τῷ φωτὶ τῆς γνώσεως αὐτοῦ· καὶ τὸν νοῦν ἡμῶν πρῶτον καταυγάσας, ἐπέστρεψε πρὸς τὴν ἀληθινὴν γνῶσιν αὐτοῦ. ὁδὸς δὲ λέγεται, ὅτι ἐν ὁδῷ εὐθείᾳ ὡδήγησεν ἡμᾶς, ἀπὸ παντὸς κρημνοῦ καὶ βαράθρου τῆς πλάνης λυτρωσάμενος ἡμᾶς. καὶ στήσας ἐν τῇ τρίβῳ τῶν ἐντολῶν αὐτοῦ, ἐχειραγώγησεν ἡμᾶς πρὸς τὴν τοῦ πατρὸς αὐτοῦ κατανόησιν. καὶ τὴν τοῦ παναγίου πνεύματος ἀληθεστάτην κατάληψιν. ζωὴ δὲ λέγεται, ὅτι νεκρωθέντας ἡμᾶς τῇ ἀγνωσίᾳ ζωὴν ἐποίησεν τῇ ἐπιγνώσει αὐτοῦ. ζωὴ γάρ ἐστιν ὁ θεός. καὶ τὸ γινώσκειν αὐτὸν, ὁλόκληρος σωτηρία. μηκέτι τὸν θάνατον τῆς ἀπιστίας ἐπισπωμένων ἡμῶν κατὰ τὸ αὐτοῦ εἰρημένον. ὅτι ὁ πιστεύων εἰς ἐμὲ, θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα. Καὶ πάλιν, ὁ τοιοῦτος, κἂν ἀποθάνῃ ζήσεται. θύρα δὲ λέγεται, ὅτι ὁδηγήσας καὶ ἐπιστρέψας καὶ πρὸς τὴν ἀλήθειαν ἐπαναγαγὼν, ἔσω τῆς θεϊκῆς ἡμᾶς εἰσήγαγεν χαρᾶς τουτέστι τῆς ἀληθεστάτης φρουρᾶς, καὶ ἀνεπιβούλου ζωῆς. τῆς πατρικῆς καὶ ἰδίας οἰκίας καὶ μονῆς, ἔνθα πάντων εὐφραινομένων ἡ κατοικία. δι' αὐτῆς γὰρ εἰσερχόμενοι σωζόμεθα, καὶ τὴν τελείαν γνῶσιν τῆς ὅλης θεότητος λαμβάνομεν, καὶ ζωὴν εὑρίσκομεν αἰώνιον, ἀπόλαυσιν. κληρονομοῦντες τὴν ἡτοιμασμένην ὑπ' αὐτοῦ τοῖς ἀξίοις βασιλείαν ἀπὸ καταβολῆς κόσμου. τῇ αὐτοῦ δυνάμει καὶ βοηθείᾳ, πρὸς τοῦτο ὁδηγούμενοι.

Ὁποῖον δεῖ ἔχειν ἡμᾶς τὸ φρόνημα περὶ θεοῦ, καὶ ποίας τὰς περὶ αὐτὸν ὑπολήψεις.

Ὅτι ἀόρατος ὁ θεὸς καὶ ἀσχημάτιστος. ὅτι αἰώνιος καὶ ἀθάνατος. ὅτι ἀκατάληπτος καὶ ἀπερινόητος καὶ ἀσώματος. ὅτι ἀναλλοίωτος καὶ ἀνέκφραστος. ὅτι ἄχρονος καὶ ἀπερίληπτος. ὅτι ποιητὴς ἁπάντων καὶ κυβερνήτης. καὶ μόνος ἄκτιστός τε καὶ ἄναρχος. καὶ πάντα αὐτὸς περιέχων, καὶ ὑπ' οὐδενὸς περιεχόμενος. Καὶ πάντα πληρῶν, καὶ μηδενὶ ἐλλειπόμενος. Καὶ πλουτῶν πάντας καὶ τρέφων, καὶ μηδενὸς ὑστερούμενος. ὅτι ἀνείδεος καὶ ἄποιος. ὅτι ἄποσος καὶ ἀμεγέθης. ὅτι πανσθενὴς καὶ παντεπόπτης. ἔστι δὲ ταῦτα καὶ πατὴρ, καὶ υἱὸς, καὶ πνεῦμα ἅγιον. μία θεότης. μία κυριότης καὶ ἐξουσία. μία σύμπνοια. ἁγιότης καὶ δύναμις μία. χορηγὸς ἁγιότητος καὶ δυνάμεως.

Διατί λέγεται, λόγος, καὶ δύναμις, καὶ σοφία, ὁ υἱὸς τοῦ θεοῦ.

Λόγος λέγεται, ὅτι οὕτως ἔχει πρὸς τὸν πατέρα αὐτοῦ οἰκείως καὶ συνημμένως, ὡς πρὸς νοῦν λόγος. μᾶλλον δὲ καὶ ὑπὲρ τοῦτο ἀσυγκρίτῳ ἑνώσει ἐνυπάρχων αὐτῷ ἀδιαστάτως, ἀσυγχύτως καὶ ἀχωρίστως. ἔτι δὲ καὶ διὰ τὸ ἀπαθὲς τῆς γεννήσεως αὐτοῦ. καθὼς καὶ ἐν ἡμῖν ὁ λόγος ἀπαθῶς γεννᾶται. ἔτι δὲ καὶ διὰ τὸ ἐξαγγελτικός. ἤγουν τὸ ἀναγγεῖλαι ἡμῖν τὸν πατέρα. καὶ τὸ ἅγιον πνεῦμα. τὴν μεγάλην καὶ κορυφαίαν βουλήν. καὶ διὰ τὴν ἄλλην δὲ ἅπασαν διδασκαλίαν αὐτοῦ. καὶ ὁ πόρος ἐστὶ τῆς τοῦ πατρὸς γνώσεως, ἡ γνῶ-

ἡ γνῶσις τοῦ υἱοῦ, καθὼς καὶ εἴρηται· ὅτι ὁ ἑωρακὼς ἐμέ, ἢ ἐγνωρικώς, ἑώρακε τὸν πατέρα· τὸν ἐπιμεμόνηκεν. ἡ γὰρ τοῦ υἱοῦ γνῶσις, γνῶσίς ἐστι τοῦ πατρὸς ἀπαράλλακτος· τοῦτο γὰρ ὁ πατήρ, ὅπερ ὁ υἱός. Καὶ οἱ μὲν δι' ἀποφάσεις λόγοι περὶ τῆς θεότητος τοῦ υἱοῦ, οὗτος ἀρκείσθω καὶ περὶ τῆς τοῦ πατρὸς καὶ τοῦ πνεύματος καταλήψεως. ὁ γὰρ αὐτὸς λόγος ἐστὶ περὶ ἀμφοτέρων, ἀπὸ τῆς ὁμομαθήσεις ἑκάστου τῶν ὑποστάσεων ἰδιότητος. δύναμις δὲ λέγεται, ὅτι πάντα συνιστάμενος, τὸ τοῦ συνέχεσθαι αὐτοῖς ἐχορήγει δύναμιν. καὶ λόγῳ κυβερνῶν καὶ διεξάγων αὐτά. καὶ τοὺς λόγους αὐτῶν ἐπιστάμενος, μόνος αὐτός, ὡς παραγωγὸς αὐτῶν καὶ ποιητής. μέχρι τῆς ὁρισθείσης στάσεως αὐτῶν, συγκρατῶν αὐτά, οὐκ ἐᾷ φέρεσθαι αὐτὰ ἀπὸ τῆς αὐτοῦ νεύσεως. Καὶ ὅτι τὸ κράτος κατέλυσε τοῦ θανάτου ὡς δυνατός. τὸν ἰσχυρὸν δήσας, καὶ τὰ σκεύη αὐτοῦ διαρπάσας, ὡς αὐτὸς ἔφησεν. Καὶ ἡμᾶς ἀφελόμενος ἐξ αὐτοῦ, τάξας ἐκεῖνον ἐγκαταπαίζεσθαι ὑπὸ χριστιανῶν, καὶ τὰς δυνάμεις αὐτοῦ ἐκδιώκεσθαι. καὶ τοῦτο γὰρ ἔργον τῆς αὐτοῦ θεϊκῆς ὑπάρχει δυνάμεως. σοφία δὲ λέγεται, ὡς ἐπιστήμη θείων τε καὶ οὐρανίων πραγμάτων. ὡς διδάσκων ἄνω γνῶσιν, καὶ σοφίζων καὶ ὁδηγῶν. ὡς κατασκευάζων βουλήν, καὶ διαλύων πραγματείας καὶ συνδέσμους. καὶ ἀπαγγέλλων βαθέα. ὡς πάσης φρονήσεως καὶ ἐπιστήμης καὶ γνώσεως καὶ δυνάμεως. Καὶ κυβερνήσεως καὶ ἀληθείας αἴτιος. τὴν πρώτην καὶ μεγάλην σοφίαν τὸν πατέρα καὶ τὸ ἅγιον πνεῦμα, σαφῶς ἀποκαλύψας καὶ διδάξας ἡμᾶς ὡς ἡμῶν μαθεῖν ἐστὶ δυνατόν.

Διατί λέγεται χαρακτὴρ τῆς ὑποστάσεως τοῦ πατρὸς ὁ υἱὸς αὐτοῦ τοῦ πατρός.

Διὰ τὸ ἀπαράλλακτον τῆς πρὸς τὸν πατέρα ὁμοιότητος ὑπάρχειν αὐτόν. Καὶ ἐν τῇ ὁμοίᾳ θεότητι, καὶ τῇ ὑποστατικῇ ἀχρόνῳ ἰδιότητι γνωρίζεσθαι ὡς κατὰ πάντα ὅμοιον τῷ πατρί.

Διατί λέγεται ἀπαύγασμα τῆς δόξης τοῦ πατρὸς ὁ υἱὸς αὐτοῦ τοῦ πατρός.

Ἀπαύγασμα λέγεται τῆς δόξης τοῦ πατρὸς ὁ υἱὸς αὐτοῦ, ὡς συνυπάρχων ἀεὶ τῷ πατρί καθὼς καὶ ἐν τῷ φωτὶ τὸ ἀπαύγασμα. οὐδὲ γὰρ τοῦτο χωρὶς ἐκείνου, ἢ ἐκεῖνο χωρὶς τούτου. καὶ ὡς ἐκ τῆς οὐσίας αὐτοῦ ἀχρόνως γεννηθείς, καὶ ἀεὶ συνὼν αὐτῷ, δηλονότι ἐν ἰδίᾳ ὑποστάσει.

## Κεφάλαια παραινετικά, διὰ γνωμολογίας.

Θεῖος φόβος. καὶ θεραπεία τεκόντων. Καὶ τιμὴ πρεσβυτέρων. καὶ αἰδὼς ἡλίκων σωφρονούντων, ἀπερίτρεπτα τῆς ἀρετῆς θεμέλια καταβάλλεται.

Νέος ἄπαις, ἀμείνων κακόπαιδος. ὁ μὲν γὰρ ὀξὺ τὸ κέντρον διὰ παντός, καὶ ἀφόρητον τὰς ἀλγηδόνας ἐνίησιν. ὁ δὲ τὸ χρόνῳ συναποῤῥέον ἔχει τὸ λυπούμενον.

Γλῶσσα σοφῶν, πολλὰς οἶδε πηγάζειν, οὐκ ἀχαρίστους ἡδονάς. τῶν δὲ ἀπαιδεύτων, ὕβρεως καὶ μάχης μᾶλλον ἐστὶν ὄργανον ἢ φωνῆς.

Ἐμποδών τις ἰδίοις κακοῖς· πρὸς τὴν τῶν ἀλλοτρίων ὀλιγωρότερος γίνεται πολυπραγμοσύνην.

Οὔτε πατρίς, οὔτε προγόνων κατάλογος, φαύλους ἢ σπουδαίους ποιεῖν εἴωθε τοὺς ἀνθρώπους. ἀλλὰ τοὺς μὲν κοσμιότης ἤθους, καὶ ψυχῆς εὐγένεια. τοὺς δὲ τρόπων ἀνωμαλία καὶ νόθου διανοίας σκεπτήματα.

Ἄνδρα σοφόν, εὑρεῖν μὲν οὐ ῥᾴδιον. εὑρόντας δέ, στέρξαι πάντας ἀδύνατον. τὸ γὰρ πλῆθος, τοῖς ὁμοίοις χαίρει μᾶλλον ἤπερ τοῖς ὑπερέχουσι. ἔλεγχον ἡγούμενοι τῆς οἰκείας ἀπαιδευσίας τὴν ἐκείνου σοφίαν, καὶ ἅμα ὁ φθόνος, ὀξὺς αὐτοῖς καὶ δεινὸς γίνεται στρατηγός, τοῦ κατ' αὐτοῦ μίσους.

Ἑνὸς ἀνδρὸς σοφοῦ συμβουλή, πολλῶν χρημάτων δυνατωτέρα. καὶ γνώμη μία κατὰ καιρὸν εἰσαγομένη, πολλῶν ἀνδρείων χειρῶν πολλάκις ὤφθη ἐπικρατεστέρα.

Οἱ τοὺς ἀναξίους ἀναβιβάζοντες, εἰς τὰς μηδὲν αὐτοῖς προσηκούσας τιμάς, οὐκ ἐκείνους μᾶλλον τιμῶσιν. ἀλλ' ἑαυτοὺς πρὸ τῶν ἄλλων ἀτιμάζουσιν. καὶ μὴν καὶ οἱ τοὺς ἀξίους τιμῆς κακίζοντες, ἑαυτῶν μὲν τὴν κρίσιν φαυλίζουσιν. τὴν δὲ δόξαν τῶν ἀτιμασθέντων, οὐκ ᾔσχυναν. τιμᾷ γὰρ τοῖς οἰκείοις τρόποις καὶ τὴν ἀδοξίαν ὁ σπουδαῖος. ὥσπερ τὴν τιμὴν ὁ ἀπαίδευτος, εἰς ἀτιμίαν καταστρέφει.

Τὸ τοῦ πλησίον παράπτωμα, τοῖς μὲν συνετοῖς, ἀσφάλεια γίνεται, τοῦ μὴ τοῖς ὁμοίοις περιπεσεῖν. τοῖς δὲ ἀπαιδεύτοις, μίμημα καὶ παράδειγμα καὶ τῆς κακίας αὐτῶν ἔλεγχος.

Χαιρεκάκου καὶ μισανθρώπου γνώμη ἐστὶ τό, ὀνειδίσαι συμφορὰν τοῦ πλησίον. ἀλγεινοτέραν γὰρ μᾶλλον ἐπάγει τοῦ πάθους ὀδύνην. τὸ καλὸν δέ, ἀσφαλίσασθαι μᾶλλον, τὰ καθ' ἑαυτὸν ἕκαστον συναλγοῦντα, ἀλλ' οὐκ ἐμβαίνοντα πειρασμοῖς, ταλαιπωρουμένῳ τῷ πλησίον.

Ἡ πενία διδάσκαλός ἐστιν ὡς τὸ πολὺ σωφροσύνης καὶ ἐγκρατείας. ὥσπερ ἀκρασίας καὶ ἀκολασίας ὁ πλοῦτος.

Ἡ πλησμονὴ τῶν σιτίων, τὰς νόσους, ἡ δὲ αὐτάρκεια τὴν ὑγείαν φιλεῖ ἀποτίκτειν. καὶ γὰρ ἡ μὲν ἀναπλήρωσίς ἐστι τῆς χρείας. ἡ δὲ βαρύνει καὶ πιέζει τὸ σῶμα, τῇ παρὰ μέτρον προσθήκῃ.

Ἔστι καὶ ψεῦδος, ἀληθείας χάριν προβαλλόμενον, ὅταν μὴ βλάπτει τὸν λέγοντα. τοῖς ἀκροαταῖς ὄφελος γίνεται.

Ἀγαθὴ φήμη, θησαυρῶν πολυτάλαντων πλουσιωτέρα. τοὺς μὲν γὰρ καὶ λῃστῶν ἂν διαρπάσωσι χεῖρες, καὶ φθόνου, καὶ ὀργὴ βασιλέως. τὴν δέ, οὐκ ἔστιν ὅστις ἐπιχειρῶν συλῆσαι, μὴ οὐχὶ μᾶλλον ἐποίησε περιφανεστέραν.

Ἀθρόον τὸ δεινὸν προσπεσόν, καὶ τῶν φρονημάτων τὰ γενναιότερα καταπλήττει τε καὶ συστέλλει. χρόνῳ δὲ καὶ πρὸς δοκία διαπραΰνεται. ὃν τρόπον εἴωθε καὶ τὰ συνήθη τῶν ἀσυνήθων κουφοτέραν τῶν ἀλγεινῶν τὴν συναίσθησιν φέρειν.

Ἄνδρα ὥσπερ ἡ ἀρχή, οὕτω καὶ τὸ ἄρχεσθαι δεικνύει. δοκιμασία γάρ ἐστιν ἑκατέρων καὶ γνώμης καὶ ἠθῶν. καὶ ἡ μὲν ἐν τῷ ἐξουσιάζειν. τὸ δέ, ἐν τῷ ἐξουσιάζεσθαι παρέχεται τὴν πεῖραν.

Ὥσπερ τὰ τῶν ἀρχομένων κατορθώματα, τὴν τοῦ ἄρχοντος ἀπαγγέλλει πρόνοιαν,

προνοίαν, οὕτω καὶ τὰ ἁμαρτήματα εἰς τὸ ἐναντίον ὡς ἐπίπαν τὴν ἐκείνου γνώμην περιτρέπει, ῥαθυμίαν αὐτῶν κατηγοροῦντα τῶν ἀρχομένων καὶ ἀμέλειαν.

Βίος ἄλυπος ψυχῆς ὡς ἐπίπαν μαυαίνον. ὥσπερ ὁ λίαν ἐπώδυνος, θανάτου παραπλήσιον. ὁ δὲ κατὰ φύσιν καὶ ἀνθρώπινος, ποτὲ μὲν ἀνίεται, ποτὲ δὲ ἐπιτείνεται. χαρμοναῖς καὶ λύπαις παραμέρος ποικιλλόμενος. ἄνθρωπος τοίνυν ὁ φρονῶν ἀνθρώπινα. οὔτε τῶν ἀλγεινῶν ἐπιζητήσει τὸ ἀδιάδοχον, οὔτε τὸ παντελῶς ἄλυπον ἂν μένειν ἐλπίσει. ἀμφότερα γὰρ ἀνθρωπίνης φύσεως ὑπερόρια.

Τὸν Ἰωσήφ, ὁ τῶν ἀδελφῶν φθόνος Αἰγύπτου κατέστησε βασιλέα. ἤδη γὰρ καὶ τὸν φθόνον ὑπόθεσιν ποιεῖσθαι φιλοσοφίας. ὥσπερ καὶ τὴν τοῦ γυναίου ἀκολασίαν, γυμνάσιον ἀρετῆς ἔδειξε καὶ σωφροσύνης. οὐκοῦν, αὐτὸ τὸ φθονεῖσθαι βλαβερόν. ἀλλὰ μὴ σπουδάζειν, φιλοσοφίας ποιεῖσθαι τὸν φθόνον ἀφορμήν.

Οὐ χρὴ τὸν καλὸν καὶ τὸν ἀγαθὸν τὰς τῶν φαύλων πράξεις ἐκτρέπεσθαι μόνον. ἀλλὰ καὶ τὴν στολήν, καὶ τοὺς λόγους, καὶ τὰ σχήματα. ὁ δὲ μὴ τοῦτο ποιῶν, διὰ τῶν ἔξωθεν περιέργων σχημάτων, τὴν μηδὲν αὐτῷ προσήκουσαν φαύλην ὑπόληψιν εἰδωλοποιεῖ.

Καὶ γέλως καὶ δάκρυον, καὶ σώματος κίνησις καὶ στάσις καὶ καθέδρα, καὶ ὕπνος καὶ ἐγρήγορσις. καὶ πρός γε τούτων χαρὰ καὶ λύπη· τῶν μὲν συνετῶν καὶ πεπαιδευμένων, ἐν τάξει καὶ κατὰ καιρὸν φιλοῦσι προϊέναι. τῶν δὲ ἀμαθῶν καὶ ἀσυνέτων, οὐδὲ ταῦτα κατὰ τὸν ὀρθὸν προέρχεται λόγον. διὸ χρὴ καὶ τῆς τούτων ἀταξίας καὶ ἀκοσμίας προνοεῖσθαι. κήρυκες γὰρ εἰσὶν ἀψευδεῖς, καὶ ταῦτα τοῦ ἤθους καὶ τῆς κατὰ ψυχὴν διαθέσεως.

Μεγαλοψύχου μὲν καὶ μεγαλόφρονος ἀνδρός, οὐδὲ λόγοις ἐπεξελθεῖν τὸν τῆς ὕβρεως ἄρξαντα. εἰ δὲ μὴ ἀλλά γε πολλῷ μετριωτέροις. ὁ δὲ καὶ πληγὰς ἐπιτιθείς. δευτέρας οὗτος ἦρξεν ἀδικίας. καὶ τὰς πρώτας λοιδορίας ἔδειξεν οὐ ψευδομένας.

Ὁ ἀλλοτρίαις γυναιξὶν ἐμπαθῶς ἐνατενίζων. οὐ κόρας. ἀλλὰ πόρνας, τὰς ἐν τοῖς ὀφθαλμοῖς κόρας ἔχει.

Μὴ ἁμαρτεῖν μὲν ἀνθρώπου, ἀδύνατον. ἁμαρτεῖν δὲ οὐ χαλεπόν, μὴ πόρρω συγγνώμης. εἰ δὲ καὶ πρὸς τοῦτο τις περιπέσῃ, ἀλλὰ μετάνοιαν ζητεῖν τὴν διόρθωσιν. τὸ δὲ πρὸς μηδὲν ἕτερον ἀφορᾶν, οὐκ ἀνθρωπείας, ἀλλὰ δαιμονίας ἐστὶ φύσεως ἴδιον.

Ὁ λέγων τὰ αἰσχρά, ἐγγύς ἐστιν ὑπονοεῖσθαι καὶ πράττειν αὐτά. οὐδὲ γὰρ ἔστηκε μακρὰν ἡ γλῶσσα τῶν χειρῶν. ὁ γὰρ μὴ κρατῶν ῥημάτων αἰσχρῶν, πῶς ἂν κρατήσειεν ἡδονῶν; τῶν μάλιστα τὰς αἰσθήσεις καταγοητεύειν δυναμένων.

Ἀκολασία γλώσσης, ἔλεγχος μέν ἐστι τῆς κατὰ διάνοιαν ἀκρασίας. αὐτόματος δὲ καὶ πρόαγγελος τῶν ὁμοίων ἐπιτηδευμάτων.

Οὐ τὸ ζηλοῦν κακίαν, ἀλλὰ τὸ τοὺς ἐν αὐτῇ ζῶντας ἐπαινεῖν, φέρει τινὰ κόλασιν οὐ τὴν τυχοῦσαν ἡμῖν. τὰ δὲ ἀμφίβολα διακρίσεως. ἄμεινον δὲ μηδὲ τούτων τῆς συνηθείας ἀνέχεσθαι. ὁδὸν γὰρ οὐκ ὀλιγάκις ταῦτα πρὸς τὰ χείρω πλατεῖαν ἀνέτεμον.

Ἡ ταπείνωσις, θεμέλιος ἐστὶ τῶν ἀρετῶν· ὅσοι δὲ ταύτην τὴν κρηπῖδα μὴ ὑπερβάλλοιντο, θᾶττον καταπίπτουσι, πονηροῦ τινος αὐτοῖς ἐπιπνεύσαντος.

Οὐχ ἡ πρὸς τὸ κρεῖττον μετάθεσις αἰσχρόν. ἀλλ' ἡ ἐν τῷ χείρονι διαμονή, αἰσχρόν, καὶ ψυχῆς ἀθάνατος τιμωρία.

Φόβος μὲν τὰς τῆς ψυχῆς ὁρμὰς συνάγει. θάρσος δέ, διάχυσιν ἐπιφέρει. καὶ θυμὸν μέν, ἀγριαίνει. ἐπιθυμία δέ, θορυβεῖ. καὶ τήκει μὲν φθόνος. μετεωρίζει δὲ λογισμῶν κουφότης. πάσας οὖν χρὴ τῶν παθῶν τὰς τοιαύτας πάσῃ μηχανῇ φεύγειν. ἵνα τὰ ἄλλα ἐάσω ἐν οἷς οὐκ ἔστιν ὥσπερ ἐπ' ὀλίγον ἠρεμεῖν. οὐδὲ κατὰ φύσιν ἔχειν ἀναστρεφόμενον.

Πλοῦτος ἀφορμὴν πρὸς αὐτάρκειαν, πλούσιον ἀληθῶς ἀποφαίνει τὸν ἔχοντα. ἂν δὲ προσθήκην ᾖ, προσθήκην ζητῶν οὐ λήγει, ἐσχάτη καὶ ἀκόρεστος πενία. πάμπολλον γὰρ ἐνδεῆ ποιεῖ τὸν φιλόπλουτον.

Ἑτέρων ἡγεῖσθαι καὶ ἄρχειν, φέρει μὲν κέρδη μεγάλα. οὐκ ἐλάττους δὲ τὰς ζημίας. ψυχὴν γὰρ ὅσους ὤνησας. ἀλλὰ καὶ ὁ σκανδαλίζων ἕνα τῶν μικρῶν, τοῦ δεθέντος ὀνικῷ μύλωνι κατὰ τὸν τράχηλον, καὶ καταποντισθέντος, χαλεπωτέραν ὑφίσταται τὴν ποινήν. ὁ δὲ καὶ προσαπολέσας τὸν ὁδηγούμενον, τίνα δίκης τιμωρίαν, τὴν ἀξίαν ἀποτίσει. διόπερ εὐλαβητέον λίαν, ἀναδέχεσθαι τὴν τῶν πλησίων προστασίαν.

Ἐ[illegible] κακόν. σώματε θε[illegible] τοῖς λογισμοῖς [illegible] περιῆγε. διὰ χαλεπῶν [illegible] πρὸς τὴν πρᾶξιν. ταῦτα ἐστὶ τὰ τῆς ἀπωλείας παραστοιχεῖα.

Ἡ πρὸς τοὺς φαύλους βεβαιότης, τῆς ὅλης ἐστὶ τῶν ἠθῶν ἀσταθείας σημεῖον. διὸ χρὴ πρότερον δοκιμάσαντα, οὕτω συνάπτειν εἰς φιλίαν. μετὰ γὰρ τὸ κτήσασθαι φίλον, ἀνάγκη φέρειν τὰ βάρη, ὅσα μὴ ψυχὴν καθέλκει, καὶ μὴ διΐστασθαι τῆς συναφείας. ἀγνοούμενος γὰρ τοῖς πολλοῖς ὁ τῆς διαστάσεως αἴτιος, κοινὴν κατηγορίαν ἀμφοῖν. πολλάκις δὲ καὶ τοῦ ἀναιτίου μᾶλλον ἢ τοῦ αἰτίου εἴωθε ποιεῖσθαι.

Δύο χείμαρροι τὸν ἀνθρώπινον περιρρέουσι βίον. ὁ μὲν διὰ τῶν δοκούντων ῥέων δεξιῶν. ὁ δὲ διὰ τῶν ἀριστερῶν. ὁ μέν, λύπας, φόβους, πενίαν, νόσον, ψόγους, καὶ τὰ ὅμοια συμπεριαγόμενος. ὁ δέ, πλοῦτον, ἡδονάς, θάρσος, δόξαν, ὑγείαν, ἐπαίνους, καὶ τὰ παραπλήσια. ῥέουσι δὲ ὅμως ἑκάτεροι. καὶ στάσιν οὐδέτερος αὐτῶν οὐδεμίαν ἔχει. τί οὖν με δεῖ τοῖς παρερχομένοις, καὶ οὐχ ἑστῶσι μέγα φρονεῖν. ἢ πρὸς ἀμηχανίας βυθόν, ἐπειδὰν ἐπιρρέῃ τὰ ἐναντία καθέλκειν ἑαυτόν. ἀλλὰ μὴ πρὸς μόνα βλέπειν τὰ διαμένοντα, τῶν δ' ἄλλων παρορᾶν τὸ ῥεῦμα, ὅποι καὶ βούλοιτο ῥέπεσθαι.

Ἡ ἀνταπόδοσις τοῦ κακοῦ, ἐν πέντε τισὶν εἴωθε θεωρεῖσθαι. ἐν γλώττῃ, ἐν σκυθρωπότητι τοῦ προσώπου. ἐν τῇ ἀποστροφῇ τῆς ἀτυχείας. ἐν ζημίᾳ τῆς περιουσίας. ἐν τῇ τῶν χειρῶν βίᾳ. ἐπεὶ καὶ ὁ κατάρχων κακώσεως διὰ τῶν πέντε προσάγεται τούτων. ἢ γὰρ βλασφήμως εἶπεν. ἢ δέον χαριεντίσασθαι, σκυθρωπὸν ἤνεγκε βλέμμα. ἢ τῶν μηδὲν αὐτῷ προσηκόντων

τῶν

τῶν ἀπλαβόντων χεῖρας ὑβριζούσας ἐκτέμνειν. ἀλλὰ τὰ μὲν ῥήματα ταῦτα, διὰ τοσούτων ῥέουσιν ὀχετῶν. ἡ δὲ ἐν τῇ καρδίᾳ θολερὰ πηγή, ταῦτα προφέρεται.

Ὅρκον καὶ δοῦναι καὶ λαβεῖν, τῶν ἠθῶν ἐστι μεγίστη κατηγορία. ὁρκίσας τὸν φίλον, ἄπιστον αὐθις ἔδειξας τὸν παρασχόντα, ὡς τῆς αὐτοῦ γνώμης ἐγγυᾶσθαι τὴν πίστιν ἀδυνατούσης. ἀλλὰ σὺ ἑτέρῳ ὀμόσας, ἔδειξας καὶ σαυτὸν χωρὶς ὅρκου πίστεως ἐνδεῆ. καὶ εἰς τὴν φαυλότητα καὶ κακίαν, τὸ ἔργον ἀμφοτέροις περιετράπη.

Τὸ ψεῦδος, μύσος ἐστὶ μᾶλλον τοῦ λέγοντος, ἢ ἀπάτη τοῦ ἀκούοντος.

Ὅστις ὀρθῶς εἰδείη ἄρχειν ἑαυτοῦ, ἐπιτήδειός ἐστιν οὗτος καὶ ἑτέρων ἄρχειν. ὅστις δὲ ἀνδράποδόν ἐστι παθῶν, πῶς ἂν ἄρχειν ἄξιος κριθείη. λαβὼν γὰρ τὴν ἀρχήν, συναιχμαλώτοις μᾶλλον ἢ ἀρχομένοις τούτοις ἀποδείξει.

Ἐμόλυνας τὴν γλῶτταν τὸν πλησίον λοιδορησάμενος, εὐλόγησον ἀπὸ καρδίας, ἵνα τοῖς ἔνδον καὶ χείλη συγκαθαράμενος, τὴν διαβολὴν ἀπαλείψῃς τῇ εὐφημίας τοῖς ῥήμασι.

Κακὸν ἡ ἁμαρτία. χεῖρον δὲ ἡ περὶ αὐτὴν ἀναισχυντία. τὴν θεραπείαν, οὐ μόνον ἀπὸ τῶν ἔργων, ἀλλὰ καὶ ἐξ αὐτῶν ἀπελαύνει τῶν ἐλπίδων.

Ὥσπερ τῇ ἀρετῇ πολέμιον ἡ κακία, οὕτω τοὺς σπουδαίους οἱ φαῦλοι μισεῖν καὶ ἀπεχθάνεσθαι ζητοῦσιν.

Συνεχῶς ἁμαρτάνων ἄνθρωπος, τὰς τῆς μετανοίας ὁδούς, μεγάλοις τείχεσιν ἑαυτῷ ἀποφράσσει.

Ἔνθα πλέον ἡ ἐπιβουλή, ἐκεῖ μᾶλλον ἡ χρεία τῆς φυλακῆς. τὰ γὰρ πλέον πολιορκούμενα, πλείονος δεῖται καὶ τῆς προνοίας.

Μαθεῖν μὲν ἐκ τοῦ παθεῖν, καὶ τῶν πάντων ἐστὶν ἀμαθῶν. μαθεῖν δὲ καὶ χωρὶς τοῦ παθεῖν, τῶν φρονίμων.

Οὐ δεῖ τὰ κοινὰ πράττοντα, ἐν τῷ μὴ πᾶσιν ἀρέσκειν. ἀλλὰ τοὺς ἐπαινοῦντας τοῖς κακῶς λέγουσιν ἐπαραβάλλοντα, ψυχαγωγεῖν ἑαυτόν. καὶ ἐπὶ τῆς αὐτῆς προαιρέσεως, ἂν μάλιστα πρὸς τὸ καλὸν ἀφορᾷ διαμένειν. τῷ δὲ λίαν τὰς διαβολὰς καὶ δυσαρεστήσεις εὐλαβουμένῳ ἢ φοβουμένῳ, κρεῖσσον ἡ πρὸς τὸ ἀπραγμονέστερον μεταβολὴ τῆς πολιτείας, καὶ ὁ ἰδιώτης βίος.

Πύλαι μάλιστα εἰσὶ τῆς ψυχῆς, τὰ ὄμματα καὶ αἱ ἀκοαί. ἂν ταύτας τις ὀρθῶς καὶ κατὰ καιρὸν ἀνοίγειν καὶ κλείειν μελετήσῃ καὶ μάθῃ. οὔτε θεαμάτων ἀκολάστων. οὔτε παραπλησίων ἀκουσμάτων γοητεύματα. ἀλλ' οὐδὲ οἱ πικροὶ καὶ ἀπαραίτητοι τῆς φύσεως λῃσταὶ καὶ πολέμιοι, εὑρήσουσιν ἐκ τοῦ εὐκόλου πάροδον ἐν τῇ ψυχῇ.

Ἄρχει μὲν τοῦ σώματος, ἡ ψυχή. καὶ ἡνιοχεῖ κατὰ φύσιν καθάπερ ἡνίοχος τοὺς ἵππους. καὶ ὁ κυβερνήτης τὴν ναῦν. καὶ ὁ στρατηγός, τὸν στρατόν. ἂν δὲ εἰς τὸ ἐναντίον ἡ τάξις περιτραπῇ, καὶ φιλονεικήσῃ τὸ σῶμα κατεπαναστῆναι τῆς ψυχῆς. καὶ φέρειν αὐτὴν πρὸς τὰ οἰκεῖα σκιρτήματα, εἰς τὴν ἴσην ἀπώλειαν καταλήγει. εἰς ἣν καταστρέφουσι τὸν ἡνίοχον ἀποβαλόντες οἱ ἵπποι. καὶ ἡ ναῦς τὸν κυβερνήτην. καὶ οἱ στρατιῶται τὸν στρατηγόν, αὐτοὶ στρατηγεῖν, καὶ κυβερνᾶν, καὶ ἡνιοχεῖν, ἐπιχειρήσαντες.

Φιλάνθρωπον διδόναι μέν, μὴ λαμβάνοντα. ἀπάνθρωπον δέ, ἀπολαμβάνο-

μοῦντα. μισάνθρωπον δὲ, καὶ τόκοις ἀπαιτεῖν.

Παρ' οἷς τὰ δῶρα πλέον ἰσχύει τοῦ δικαίου, μεγάλην ἐν τούτοις ἔχει ἡ ἀδικία καὶ ἡ πλεονεξία τὴν παῤῥησίαν.

Κρεῖσσον ἐστὶ βραδέως ὑποσχόμενος, ταχέως τὴν ἐπαγγελίαν πληρῶσαι, ἢ ταχὺ ἐπαγγειλάμενος, βραδύνειν.

Ἔστι φίλος κοινωνὸς τραπέζης, καὶ οὐ μὴ παραμείνῃ ἐν καιρῷ θλίψεως. καὶ ἐὰν ταπεινωθῇς, ἔσται κατὰ σοῦ.

Ἡ τῶν ἀνθρώπων ἀγάπη, εἰς τρία μερίζεται πρόσωπα. ὃς μὲν, διὰ θεὸν ἀγαπᾷ. ὃς δὲ χάριν λήψεως δώρων, ἐπεὶ πλούσιος ἐστὶν ὃν ἀγαπᾷ. ὃς δὲ ἐμπαθῶς. καὶ ὃς μὲν εἰλικρινῶς δοξάζει ὃν ἀγαπᾷ. ὃς δὲ διὰ πλεονεξίαν. ὃς δὲ χάριν ἡδονῆς.

Ἀγαθῶν, περὶ οὐδένος ἂν γένοιτο φθόνος. ὅθεν εἰκότως οἶμαι τὸν ἀγαθὸν, ἀγαθῶν μόνον φίλον εἶναι. τὸν δὲ κακὸν, οὔτε τῶν ἀγαθῶν, οὔτε τῶν κακῶν.

Πατρὸς ἐπιτίμησις, ἡδὺ φάρμακον. πλέον γὰρ ἔχει τὸ ὠφέλιμον τοῦ δάκνοντος.

Τὸ ἔντιμον ἐν γήρᾳ εἶναι, ἀπόδειξις τοῦ φιλόπονον πρὸ γήρως γεγονέναι. τὸ δὲ σπουδαῖον ἐν νεότητι, τεκμήριον ἐν γήρᾳ ἔντιμον ἔσεσθαι.

Οὐ πᾶσαι ἐπαινεταὶ πτωχίαι. ἀλλ' αἱ ἐκ προαιρέσεως κατὰ τὸν εὐαγγελικὸν σκοπὸν κατορθούμεναι.

Πολλοὶ μὲν γὰρ πτωχοὶ τῇ ἐξουσίᾳ, πλεονεκτικώτατοι δὲ τῇ προαιρέσει τυγχάνουσιν. οὓς οὐχ ἡ ἔνδεια σώζει ἀλλ' ἡ προαίρεσις κατακρίνει.

Ὥσπερ τοῖς μεθύουσιν ἀφορμὴ τοῦ πιεῖν ἡ προσθήκη τοῦ οἴνου γίνεται, οὕτω καὶ οἱ νεόπλουτοι πολλὰ κτησάμενοι, πλειόνων ἐπιθυμοῦσι. τῷ ἀεὶ προστιθεμένῳ τὴν νόσον τρέφοντες. καὶ περιτρέπεται αὐτοῖς ἡ σπουδὴ πρὸς τὸ ἐναντίον. οὐ γὰρ εὐφραίνει τὰ παρόντα τοσαῦτα ὄντα, ὅσον ὀδυνᾷ τὰ ἀλλότρια, μὴ αὐτῶν ὄντα.

Ἀνὴρ θυμώδης, οὐκ εὐσχήμων. φεῦγε τοίνυν τὰς μετ' αὐτοῦ διατριβάς. ἀνάγκη γάρ σε μαθεῖν, ὅτι τῶν ἐκείνου ὁδόν. εἴ τι ὑβριστικὸν, ἐκίνησε καὶ τὸν ἐν σοὶ θυμόν. ὥσπερ κυνὸς ὑλακὴ προσκαλεῖται ἑτέρου κυνὸς θόρυβον. καὶ τὸν ἐν σοὶ θυμὸν, πῶς κοιμώμενον καὶ ἡσυχάζοντα, ἡ ἐκείνου φωνὴ διήγειρε, καὶ γεγόνατε ἀλλήλοις [illegible].

Μὴ ἀποδέχου ἐγκράτειαν διωκομένης πραότητος. ὅστις γὰρ βρωμάτων ἢ πομάτων ἀπέχεται, θυμὸν δὲ ἀλόγως κινεῖ, ἔοικεν οὕτως ποντοπορούσῃ νηΐ, καὶ ἐχούσῃ δαίμονα κυβερνήτην.

Βασιλικῆς ψυχῆς ἀρετὴ, μεγαλοψυχία, καὶ φιλανθρωπία, καὶ δικαιοκρισία, καὶ ἐπιείκεια.

Οὔτε ἵππος ἐστὶ φάτνης [illegible], οὔτε ἀετὸς ἐστὶ καλιᾶς. ἀλλ' ἀμφότεροι ἐπὶ ταχύτητι. ὁ μὲν ποδῶν. ὁ δὲ πτερῶν. καὶ σὺ τοίνυν. μὴ ἐν τραπέζῃ καὶ περιβολαίοις καὶ εὐπορίᾳ μέγα φρονήσῃς. ἀλλ' ἐπὶ χρηστότητι καὶ εὐποιΐᾳ.

Τὸν πολλὰ ὀμνύοντα, ὡς τὸν ἐπιορκοῦντα φεῦγε. καὶ γὰρ πολλοῖς ὅρκοις, πλεῖσται αἱ ἐπιορκίαι.

Τὰς τῶν ἀρχόντων εὐπραγίας μᾶλλον, ἢ τοὺς ἄρχοντας αὐτοὺς εἰώθασιν οἱ πλεῖστοι θεραπεύειν.

[illegible]τους, οἳ καὶ προσκυνοῦσι τούτους, καὶ τῶν λεγομένων καὶ πραττομένων ἕκαστα ἐπαινοῦσι. ἢ φόβῳ ἢ ἐλπίσι πάντες.

ταῦτα δρῶσι, τῆς ἀρχῆς ὄντες φίλοι. καὶ πρὸς τὸν καιρὸν ἀποβλέποντες.

Ἡ πρὸς τοὺς φαύλους τῶν λόγων, συνήθεια, ὁδός ἐστιν ἐπὶ τὰ πράγματα.

Ἀναιδὲς βλέμμα, καὶ μετέωρος αὐχὴν· καὶ συνεχὴς κίνησις ὀφρύων. καὶ βάδισμα σεσοβημένον. καὶ τὸ ἐπὶ μηδενὶ τῶν φαύλων ἐρυθριᾶν, σημεῖα ψυχῆς ἐστιν αἰσχίστης. τοὺς ἀφανεῖς τύπους τῶν οἰκείων κακῶν ἐγγραφούσης τῷ φανερῷ σώματι.

Τὸ εἰς κακίαν οὐχ ἕτοιμον, οὐδὲ εἰς ὑπόνοιαν εὐχερές. καὶ βραδὺ πρὸς ὑπόνοιαν κακοῦ, τὸ πρὸς κακίαν δυσκίνητον.

Ῥᾴδιον ἑκάστῳ ἡμῶν τὰ ἀλλότρια πολυπραγμονεῖν ἢ τὰ οἰκεῖα ἑαυτοῦ διασκέπτεσθαι. ἵνα οὖν μὴ τοῦτο πάσχωμεν, παῦσαι φησὶ τὰ τοῦ δεῖνος κακὰ περιεργαζόμενος, μὴ δίδου σχολὴν τῷ λογισμῷ τὸ ἀλλότριον ἐξετάζειν ἀρρώστημα. ἀλλὰ σαυτῷ πρόσεχε. τουτέστιν ἐπὶ τὴν οἰκείαν ἁμαρτίαν ἀνάστρεφε τὸ ὄμμα τῆς ψυχῆς σου. οὐδαμόθεν γὰρ ἠμέληται τὰ ἡμέτερα, ἢ ἐκ τοῦ ἄλλοις πολυπραγμονεῖν καὶ περιεργάζεσθαι. οὐ γάρ ἐστιν ἄνθρωπον τοὺς ἀλλοτρίους πολυπραγμονοῦντα βίους, τῆς οἰκείας ἐπιμεληθῆναί ποτε ζωῆς.

Ἀνθρωπάρεσκός ἐστιν, ὁ πρὸς θέλημα ἀνθρώπου τινός, ἢ ἀρέσκειαν αὐτοῦ ποιῶν τι. κἂν ἀτιμίας ἄξιον ᾖ τὸ γινόμενον.

Ὁ διαβάλλων τὸν πλησίον αὐτοῦ, ἀδελφικὰ κρέα ἔφαγεν. ὑπόληψιν τρώσας, καὶ μυρία ἕτερα ἐργασάμενος.

Ἂν μηδὲν ἔχῃς ἐνεγκεῖν τῷ ἀσθενοῦντι διὰ πενίαν, σαυτὸν εἰσάγαγε. καὶ τὴν ἀπὸ τῶν ῥημάτων αὐτῷ παραμυθίαν προσένεγκε.

Οὐ δέχομαι πλουτεῖν. οὐδὲ γὰρ τούτου ἐρῶ. ἀλλά μοι εἴη ζῆν ἀπὸ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόν.

Οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν. καὶ τὰ βλέφαρά σου νευέτω δίκαια.

Τὰ παρὰ τῶν φίλων λεγόμενα, κἂν ὕβρεις ᾖ, φορητά. ἔστι φίλος ἐν καιρῷ αὐτοῦ, καὶ οὐ μὴ παραμείνῃ ἐν καιρῷ θλίψεως. καὶ ἐὰν ταπεινωθῇς, ἔσται κατὰ σοῦ.

Πολυμαθία, λίαν μὲν ὠφελεῖ. λίαν δὲ καὶ βλάπτει. ὠφελεῖ μέν, τὸν δεξιὸν ἄνδρα. βλάπτει δέ, τὸν ῥᾳδίως φωνοῦντα πᾶν ἔπος, καὶ ἐν ἅπαντι δήμῳ.

Τί γάρ ἐστιν ἄνθρωπος, ἢ ἀσθενείας ἀπόδειγμα. καιροῦ λάφυρον. τύχης παίγνιον. μεταπτώσεως εἰκὼν. φθόνου καὶ συμφορᾶς πλάστιγξ. πρὸς δὲ τούτοις, φλέγμα καὶ χολή.

Ὁ τὴν δικαιοσύνην ἔχων ἐν τῇ ψυχῇ, οὐ μόνον τοῖς ἄλλοις ὠφέλιμος ἐστίν, ἀλλὰ καὶ αὐτὸς ἑαυτῷ. οὐ γὰρ πειράσεται ἑαυτὸν ἀδικεῖν. οὐδὲ καθ᾽ ἓν μέρος. ἀλλὰ δικαίως χρήσεται τοῖς τῆς φύσεως αἰσθητηρίοις.

Τῶν φαύλων ἔργων, καὶ τοὺς λόγους παραιτητέον. καὶ ἃ οὐκ ἂν πράξαις πολλῶν παρόντων, ταῦτα μηδὲ λέξῃς πολλῶν ἀκουόντων.

Φιλονεικία πᾶσα, ἀνόητος. τὸ γὰρ κατὰ τοῦ δυσμενοῦς βλαβερὸν θεωροῦσα, τὸ ἴδιον συμφέρον οὐ βλέπει.

Οὔτε λόγος ἀγαθός, φαύλην πρᾶξιν ἀμαυροῖ. οὔτε πρᾶξιν ἀγαθήν, λόγου βλασφημία λυμαίνεται.

Οὐ τὸν βίον ἐκ τῆς λόγου δεινότητος ἐπαινοῦμεν. ἀλλὰ τὸν λόγον, ἐκ τῆς περὶ τὸν βίον εὐταξίας.

Ἐγὼ οὐ τοὺς πλεῖστα ἔχοντας καὶ φυ-
λάσσοντας πλεῖστα, δυσμοιρωτά-
τους ἡγοῦμαι. ἀλλ᾽ ὅσοι ἂν κτᾶσθαι
δύνωνται σὺν τῷ δικαίῳ. καὶ χρῆσθαι
τούτοις σὺν τῷ καλῷ ∻

Ἡ τοῦ σώματος ἕξις, ὑπὸ ἡσυχίας μὲν
καὶ ἀργίας ἀπόλλυται. ὑπὸ γυμνα-
σίων δὲ, καὶ κινήσεως, αὐτὴ τὸ πολὺ σώ-
ζεται. καὶ ἡ ἐν τῇ ψυχῇ ἕξις, ὑπὸ μα-
θήσεως μὲν καὶ μελέτης, κινήσεων ὄν-
των, σώζεται, καὶ γίνεται βελτίων.
ὑπὸ δὲ ἡσυχίας καὶ ἀμελετησίας καὶ
ἀμαθίας, οὔτε τι μανθάνει. ἅπερ μά-
θῃ, ἐπιλανθάνεται ∻

Ὁ πιστεύων τῷ κυρίῳ, φοβεῖται τὴν κό-
λασιν. ὁ δὲ φοβούμενος τὴν κόλα-
σιν, ἐγκρατεύεται ἀπὸ τῶν παθῶν. ὑπο-
μένει τὰ θλιβερά. ὁ δὲ ὑπομένων
τὰ θλιβερά, ἕξει τὴν εἰς θεὸν ἀγάπην.
ἡ δὲ εἰς θεὸν ἐλπὶς, χωρίζει τὸν νοῦν
ἀπὸ πάσης γηΐνης προσπαθείας.
ταύτης δὲ ὁ νοῦς χωρισθεὶς,
ἕξει τὴν εἰς θεὸν
ἀγάπην ∻

Ἀρχή

321

Ἀρχὴ σὺν θεῷ ἁγίῳ, πασχάλιον τοῦ στοιχείου ... περιέχον, τὰ ἀπὸ κτίσεως κόσμου ἔτη. Τὴν ἰνδικτιῶνα, τὸν κύκλον τοῦ ἡλίου. Τὸν κύκλον τῆς σελήνης, καὶ τὸ θεμέλιον αὐτῆς. Τὴν παραμονὴν τῶν Χριστοῦ γεννῶν. Τὴν κρεοφαγίαν. Τὸ τριώδιον πότε ἄρχεται. Ἔτι δὲ ἦχον καὶ ἑωθινόν. Τὴν ἀποκρέα, καὶ τὸν εὐαγγελισμόν. Τὸ νομικὸν φάσκα, ἐν ποίᾳ ἡμέρᾳ τῆς ἁγίας καὶ μεγάλης ἑβδομάδος συμβαίνειν ἔστι ἔσεσθαι. Τό, τε χριστιανῶν πάσχα. Τὴν ἁγίαν ἀνάληψιν, καὶ τὴν ἁγίαν πεντηκοστήν. Τὴν κυριακὴν τῶν ἁγίων πάντων. Τὰς ἡμέρας τῶν νηστειῶν τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων, καὶ τὴν μνήμην αὐτῶν. Εἰσὶ δὲ τὰ πάντα, πασχάλια ἑξήκοντα. Ποιηθέντα. παρὰ Βασιλείου Βαλεριάδος τοῦ κερκυραίου. Ἄρχεται δ' οὖν, ἀπὸ τὸ τοῦ κυρίου ἡμῶν ἰησοῦ Χριστοῦ ἔτος, χιλιοστῷ, πεντακοσιοστῷ, τεσσαρακοστῷ πέμπτῳ.

χυ' κε'. Ἔτους, ζνγ'. Ἰνδικτιῶνος, γ'. Ἡλίου κύκλοι, κε'. Σελήνης κύκλοι, δ'. Θεμέλιον σελήνης, ιζ'. Ἡ παραμονὴ τοῦ Χριστοῦ γεννῶν, ἡμέρα δ'. Κρεοφαγίας, ἡμέραι, μϛ'. Τὸ τριώδιον ἄρχεται ἰαννουαρίῳ, κε'. ἦχος, α'. ἑωθινὸν, α'. Ἡ ἀποκρέα, φεβρουαρίῳ, ... Τοῦ εὐαγγελισμοῦ, τῇ, δ', ...

Ἔτι.

τῆς, ἕκτης, ἑβδομάδος. Νομικὸν φάσκα, τῇ ἁγίᾳ καὶ μεγάλῃ, δευτέρᾳ. Χριστιανῶν πάσχα, ἀπριλλίῳ, ε'. Τῆς ἀναλήψεως, μαΐῳ, ιδ'. Τῆς πεντηκοστῆς, μαΐῳ, κδ'. Τῶν ἁγίων πάντων, μαΐῳ, λα'. Ἡ νηστεία τῶν ἁγίων ἀποστόλων, ἡμέραι, κη'. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρα, δευτέρα.

α,φμϛ'. Ἔτους, ζνδ'. Ἰνδικτιῶνος, δ'. Ἡλίου κύκλοι, κϛ'. Σελήνης κύκλοι, ε'. Θεμέλιον σελήνης, κη'. Ἡ παραμονὴ τῶν Χριστοῦ γεννῶν, ἡμέρα, ε'. Κρεοφαγία, ἡμέραι, ξϛ'. Τὸ τριώδιον ἄρχεται, φεβρουαρίῳ, ιδ'. ἦχος, πλ. α'. ἑωθινὸν, ε'. Ἡ ἀποκρέα, φεβρουαρίῳ, κη'. Τοῦ εὐαγγελισμοῦ, ε', τῆς πρώτης ἑβδομάδος. Νομικὸν φάσκα, τῇ κυριακῇ, τῆς βαϊοφόρου. Χριστιανῶν πάσχα, ἀπριλλίῳ, κε'. Τῆς ἀναλήψεως, ἰουνίῳ, γ'. Τῆς πεντηκοστῆς, ἰουνίῳ, ιγ'. Τῶν ἁγίων πάντων, ἰουνίῳ, κ'. Ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι, η'. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρα τρίτη.

α,φμζ'. Ἔτους, ζνε'. Ἰνδικτιῶνος, ε'. Ἡλίου κύκλοι, κζ'. Σελήνης κύκλοι, ϛ'. Θεμέλιον σελήνης, θ'. Ἡ παραμονὴ τῶν Χριστοῦ γεννῶν, ἡμέρα, παρασκευή. Κρεοφαγία, ἡμέραι, να'. Τὸ τριώδιον ἄρχεται, ἰαννουαρίῳ, λ'. ἦχος, πλ. δ'. ἑωθινὸν, ια'. Ἡ ἀποκρέα, φεβρουαρίῳ, ιγ'. Τοῦ εὐαγγελισμοῦ, τῇ, ϛ', τῆς πέμπτης ἑβδομάδος. Νομικὸν φάσκα, τῇ ἁγίᾳ καὶ μεγάλῃ πέμπτῃ. Χριστιανῶν πάσχα, ἀπριλλίῳ, ι'. Τῆς ἀναλήψεως, μαΐῳ, ιθ'. Τῆς πεντηκοστῆς, μαΐῳ, κθ'. Τῶν ἁγίων πάντων, ἰουνίῳ ...

ρίῳ, ε. Ἡ νηστεία τῶν ἁγίων ἀποστόλων, ἡμέραι, κγ. Καὶ ἡ μνήμη αὐτῶν ἡμέρα, δ.

αφμη. Ἔτος, ζνϛ. Ἰνδικτιῶνος, ϛ. Βίσεκτος. Ἡλίου κύκλοι, κη. Σελήνης κύκλοι, ζ. Θεμέλιον σελήνης, κ. Ἡ παραμονὴ τῶν χῦ γεννῶν, ἡμέρα σαββάτω. Κρεοφαγία, ἡμέραι, μγ. Τὸ τριῴδιον ἄρχεται, ἰαννουαρίῳ, κβ. ἦχος, α. ἑωθινόν, α. Ἡ ἀποκρέα, φεβρουαρίῳ, ε. Τοῦ εὐαγγελισμοῦ τῇ κυριακῇ τῆς βαϊοφόρου. Νομικὸν φάσκα, τῇ ἁγίᾳ καὶ μεγάλῃ, τρίτῃ. Χριστιανῶν πάσχα, ἀπριλλίῳ, α. Τῆς ἀναλήψεως, μαΐῳ, ι. Τῆς πεντηκοστῆς, μαΐῳ, κ. Τῶν ἁγίων πάντων, μαΐῳ, κζ. Ἡ νηστεία τῶν ἁγίων ἀποστόλων, ἡμέραι, λβ. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρα παρασκευῇ.

αφμθ. Ἔτος, ζνζ. Ἰνδικτιῶνος, ζ. Ἡλίου κύκλοι, α. Σελήνης κύκλοι, η. Θεμέλιον σελήνης, α. Ἡ παραμονὴ τῶν χῦ γεννῶν, ἡμέρα, δευτέρα. Κρεοφαγία, ἡμέραι, ξβ. Τὸ τριῴδιον ἄρχεται, φεβρουαρίῳ, ι. ἦχος, πλ. ἑωθινόν, ε. Ἡ ἀποκρέα, φεβρουαρίῳ, κδ. Τοῦ εὐαγγελισμοῦ, τῇ, ε, τῆς, δ, ἑβδομάδος. Νομικὸν φάσκα, τῇ ἁγίᾳ καὶ μεγάλῃ, δευτέρᾳ. Χριστιανῶν πάσχα ἀπριλλίῳ, κα. Τῆς ἀναλήψεως, μαΐῳ, λ. Τῆς πεντηκοστῆς, ἰουνίῳ, θ. Τῶν ἁγίων πάντων, ἰουνίῳ, ιϛ. Ἡ νηστεία τῶν ἁγίων ἀποστόλων, ἡμέραι, ιβ. Καὶ ἡ μνήμη αὐτῶν ἡμέρα, σαββάτω.

αφν. Ἔτος, ζνη. Ἰνδικτιῶνος, η. Ἡλίου κύκλοι, β. Σελήνης κύκλοι, θ. Θεμέλιον σελήνης, ιβ. Ἡ παραμονὴ τῶν χῦ γεννῶν, ἡμέρα, τρίτη. Κρεοφαγία, ἡμέραι, μζ. Τὸ τριῴδιον ἄρχεται, ἰαννουαρίῳ, κϛ. ἦχος, πλ. δ. ἑωθινόν, ια. Ἡ ἀποκρέα, φεβρουαρίῳ, θ. Τοῦ εὐαγγελισμοῦ, τῇ τρίτῃ, τῆς ἕκτης ἑβδομάδος. Νομικὸν φάσκα, τῇ ἁγίᾳ καὶ μεγάλῃ παρασκευῇ. Χριστιανῶν πάσχα, ἀπριλλίῳ, ϛ. Τῆς ἀναλήψεως, μαΐῳ, ιε. Τῆς πεντηκοστῆς, μαΐῳ, κε. Τῶν ἁγίων πάντων, ἰουνίῳ, α. Ἡ νηστεία τῶν ἁγίων ἀποστόλων, ἡμέραι, κζ. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρα κυριακῇ.

αφνα. Ἔτος, ζνθ. Ἰνδικτιῶνος, θ. Ἡλίου κύκλοι, γ. Σελήνης κύκλοι, δέκα. Θεμέλιον σελήνης, κγ. Ἡ παραμονὴ τῶν χῦ γεννῶν, ἡμέρα, δ. Κρεοφαγία, ἡμέραι, λθ. Τὸ τριῴδιον ἄρχεται, ἰαννουαρίῳ, ιη. ἦχος, α. ἑωθινόν, α. Ἡ ἀποκρέα, φεβρουαρίῳ, α. Τοῦ εὐαγγελισμοῦ, τῇ ἁγίᾳ καὶ μεγάλῃ τετράδι. Νομικὸν φάσκα, τῇ ἁγίᾳ καὶ μεγάλῃ, τρίτῃ. Χριστιανῶν πάσχα, μαρτίῳ, κθ. Τῆς ἀναλήψεως, μαΐῳ, ζ. Τῆς πεντηκοστῆς, μαΐῳ, ιζ. Τῶν ἁγίων πάντων μαΐῳ, κδ. Ἡ νηστεία τῶν ἁγίων ἀποστόλων, ἡμέραι, λε. Καὶ ἡ μνήμη αὐτῶν ἡμέρα, δευτέρα.

αφνβ. Ἔτος, ζξ. Ἰνδικτιῶνος, ι. Βίσεκτος. Ἡλίου κύκλοι, δ. Σελήνης κύκλοι, ια. Θεμέλιον σελήνης, δ. Ἡ παραμονὴ τῶν χῦ γεννῶν, ἡμέρα, πέμπτη. Κρεοφαγία ἡμέραι, μθ. Τὸ τριῴδιον ἄρχεται, φεβρουαρίῳ ζ, ἦχος, πλ. ἑωθινόν, ε. Ἡ ἀποκρέα φεβρουαρίῳ, κα. Τοῦ εὐαγγελισμοῦ, τῇ ϛ, τῆς, δ, ἑβδομάδος. Νομικὸν φάσκα, τῇ ἁγίᾳ καὶ μεγάλῃ

γ'. Χ ριστιανῶν πάσχα, ἀπριλλίῳ,
ιζ'. Τ ῆς ἀναλήψεως, μαΐῳ, κϛ'.
Τ ῆς πεντηκοστῆς, ἰουνίῳ, ε'. Τ ῶν ἁ-
γίων πάντων, ἰουνίῳ, ιβ'. Η μνή-
μη τῶν ἁγίων ἀποστόλων, ἡμέραι,
ιϛ'. Κ αἱ μνήμη αὐτῶν, ἡμέρα, δ'~

αφμγ'. Ε τους, ζξα'. Ι νδικτιῶνος, ια'.
Η λίου κύκλοι, ε'. Σ ελήνης κύ-
κλοι, ιβ'. Θ εμέλιον σελήνης, ιε'.
Η παραμονὴ τῶν Χυ γεννῶν, ἡμέρα
σαββάτῳ. Κ ρεοφαγία ἡμέραι, μγ'.
Τ ὸ τριώδιον ἄρχεται ἰαννουαρίῳ,
κβ'. ἦχος, πλδ', ἑωθινόν, ια'. Η ἀπό-
κρεω, φεβρουαρίῳ, ε'. Τ οῦ εὐαγγε-
λισμοῦ τῷ σαββάτῳ τοῦ δικαίου Λα-
ζάρου. Ν ομικὸν φάσκα, τῷ ἁγίῳ
καὶ μεγάλῳ σαββάτῳ. Χ ριστιανῶν
πάσχα, ἀπριλλίῳ, ϛ'. Τ ῆς ἀναλή-
ψεως μαΐῳ, ιε'. Τ ῆς πεντηκοστῆς, μα-
ΐῳ, κε'. Τ ῶν ἁγίων πάντων, μαΐῳ,
κη'. Η μνήμη τῶν ἁγίων ἀποστόλων,
ἡμέραι, λα'. Κ αἱ ἡ μνήμη αὐτῶν
ἡμέρα, πέμπτη~

αφμδ'. Ε τους, ζξβ'. Ι νδικτιῶνος, ιβ'.
Η λίου κύκλοι, ιϛ'. Σ ελήνης κύ-
κλοι, ιγ'. Θ εμέλιον σελήνης, κϛ'.
Η παραμονὴ τῶν Χυ γεννῶν, ἡμέρα,
κυριακῇ. Κ ρεοφαγία, ἡμέραι, λε'.
Τ ὸ τριώδιον ἄρχεται ἰαννουαρίῳ, ιδ'.
ἦχος, α', ἑωθινόν, α'. Η ἀπόκρεω ἰαν-
νουαρίῳ, κη'. Τ οῦ εὐαγγελισμοῦ,
τῇ ἁγίᾳ καὶ μεγάλῃ, κυριακῇ τοῦ πά-
σχα. Ν ομικὸν φάσκα, τῇ ἁγίᾳ καὶ
μεγάλῃ τετράδι. Χ ριστιανῶν πά-
σχα, μαρτίῳ, κε'. Τ ῆς ἀναλήψεως,
μαΐῳ, γ'. Τ ῆς πεντηκοστῆς, μαΐῳ, ιγ'.
Τ ῶν ἁγίων πάντων, μαΐῳ, κ'. Η μνη-
στεία τῶν ἁγίων ἀποστόλ. ἡμέραι, λθ'.
Κ αἱ ἡ μνήμη αὐτῶν, ἡμέρα, ϛ'~

αφμε'. Ε τους, ζξγ'. Ι νδικτιῶνος, ιγ'.
Τυπ

Η λίου κύκλοι, ιζ'. Σ ελήνης κύ-
κλοι, ιδ'. Θ εμέλιον σελήνης, ζ'.
Η παραμονὴ τοῦ Χυ γεννῶν, ἡμέρα, β'.
Κ ρεοφαγία ἡμέραι, με'. Τ ὸ τριώδιον
ἄρχεται φεβρουαρίῳ, γ'. ἦχος, πλα', ἑω-
θινόν, ε'. Η ἀπόκρεω, φεβρουαρίῳ,
ιζ'. Τ οῦ εὐαγγελισμοῦ, τῇ, β', τῆς
ε', ἑβδομάδος. Ν ομικὸν φάσκα, τῇ
ἁγίᾳ καὶ μεγάλῃ, γ'. Χ ριστιανῶν πά-
σχα, ἀπριλλίῳ, ιδ'. Τ ῆς ἀναλήψεως
μαΐῳ, κγ'. Τ ῆς πεντηκοστῆς, ἰουνίῳ,
β'. Τ ῶν ἁγίων πάντων, ἰουνίῳ, θ'.
Η μνηστεία τῶν ἁγίων ἀποστόλων, ἡμέ-
ραι, ιθ'. Κ αἱ ἡ μνήμη αὐτῶν, ἡμέ-
ρα σαββάτῳ~

αφμϛ'. Ε τους, ζξδ'. Ι νδικτιῶνος, ιδ'.
Βίσεκτος. Η λίου κύκλοι, ιη'. Σ ελήνης κύ-
κλοι, ιε'. Θ εμέλιον σελήνης, ιη'. Η
παραμονὴ τῶν Χυ γεννῶν, ἡμέρα, γ'.
Κ ρεοφαγία, ἡμέραι, μζ'. Τ ὸ τριώ-
διον ἄρχεται ἰαννουαρίῳ, κϛ'. ἦχος, α'.
ἑωθινόν, α'. Η ἀπόκρεω, φεβρουα-
ρίῳ, θ'. Τ οῦ εὐαγγελισμοῦ, τῇ, δ',
τῆς, ϛ', ἑβδομάδος. Ν ομικὸν φά-
σκα τῇ κυριακῇ τῶν Βαΐων. Χ ριστιανῶν πά-
σχα, ἀπριλλίῳ, ε'. Τ ῆς ἀναλήψεως
μαΐῳ, ιδ'. Τ ῆς πεντηκοστῆς, μαΐῳ,
κδ'. Τ ῶν ἁγίων πάντων, μαΐῳ,
λα'. Η μνηστεία τῶν ἁγίων ἀποστόλων,
ἡμέραι, κη'. Κ αἱ ἡ μνήμη αὐτῶν, ἡμέ-
ρα, δευτέρα~

αφμζ'. Ε τους, ζξε'. Ι νδικτιῶνος, ιε'.
Η λίου κύκλοι, θ'. Σ ελήνης κύ-
κλοι, ιϛ'. Θ εμέλιον σελήνης, κθ'.
Η παραμονὴ τῶν Χυ γεννῶν, ἡμέρα,
γ'. Κ ρεοφαγία ἡμέραι, μθ'. Τ ὸ τριώ-
διον ἄρχεται, φεβρουαρίῳ, ζ', ἦχος,
δ'. ἑωθινόν, δ'. Η ἀπόκρεω φε-
βρουαρίῳ, κα'. Τ οῦ εὐαγγελισμοῦ,
τῇ πέμπτῃ τῆς τετάρτης ἑβδομάδος.

Νομικὸν φάσκα, τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ. Χειστιανῶν πάσχα, ἀπριλλίῳ, ιη'. Τῆς ἀναλήψεως, μαΐῳ, κζ'. Τῆς πεντηκοστῆς, ἰουνίῳ ϛ'. Τῶν ἁγίων πάντων ἰουνίῳ, ιγ'. Ἡ νηστεία τῶν ἁγίων ἀποστόλων, ἡμέραι, ιε'. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρα, γ'.

,αφμη'. Ἔτους, ,ζξϛ'. Ἰνδικτιῶνος, α'. Ἡλίου κύκλοι, ι'. Σελήνης κύκλοι ιζ'. Θεμέλιον σελήνης, ι'. Ἡ παραμονὴ τῶν χῦ γεννῶν, ἡμέρα, ϛ'. Κρεοφαγία, ἡμέραι, μα'. Τὸ τριώδιον ἄρχεται ἰαννουαρίῳ, λ'. ἦχος, α'. ἑωθινὸν, α'. Ἡ ἀποκρέα, φεβρουαρίῳ, ιγ'. Τοῦ εὐαγγελισμοῦ, τῇ, ϛ', τῆς, ε', ἑβδομάδος. Νομικὸν φάσκα, τῇ ἁγίᾳ καὶ μεγάλῃ, γ'. Χειστιανῶν πάσχα, ἀπριλλίῳ, ι'. Τῆς ἀναλήψεως, μαΐῳ, ιθ'. Τῆς πεντηκοστῆς, μαΐῳ, κθ'. Τῶν ἁγίων πάντων, ἰουνίῳ, ε'. Ἡ νηστεία τῶν ἁγίων ἀποστόλων, ἡμέραι, κγ'. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρα, δ'.

,αφμθ'. Ἔτους, ,ζξζ'. Ἰνδικτιῶνος, β'. Ἡλίου κύκλοι, ια'. Σελήνης κύκλοι, ιη'. Θεμέλιον σελήνης, κα'. Ἡ παραμονὴ τῶν χῦ γεννῶν, ἡμέρα σαββάτῳ. Κρεοφαγία, ἡμέραι, λϛ'. Τὸ τριώδιον ἄρχεται, ἰαννουαρίῳ, ιε'. ἦχος, πλ. ἑωθινὸν, ια'. Ἡ ἀποκρέα, ἰαννουαρίῳ, κθ'. Τοῦ εὐαγγελισμοῦ τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ. Νομικὸν φάσκα, τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ. Χειστιανῶν πάσχα, μαρτίῳ, κϛ'. Τῆς ἀναλήψεως, μαΐῳ, δ'. Τῆς πεντηκοστῆς, μαΐῳ, ιδ'. Τῶν ἁγίων πάντων, μαΐῳ, κα'. Ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι, λη'. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρα πέμπτη.

,αφξ'. Ἔτους, ,ζξη'. Ἰνδικτιῶνος, γ'. Βίσεκτος. Ἡλίου κύκλοι, ιβ'. Σελήνης κύκλοι, ιθ'. Θεμέλιον σελήνης, β'. Ἡ παραμονὴ τῶν χῦ γεννῶν, ἡμέρα κυριακῇ. Κρεοφαγία, ἡμέραι, μϛ'. Τὸ τριώδιον ἄρχεται, φεβρουαρίῳ, δ'. ἦχος, πλ. ἑωθινὸν, ε'. Ἡ ἀποκρέα, φεβρουαρίῳ, ιη'. Τοῦ εὐαγγελισμοῦ, τῇ, β, τῆς πέμπτης ἑβδομάδος. Νομικὸν φάσκα, τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ. Χειστιανῶν πάσχα, ἀπριλλίῳ, ιδ'. Τῆς ἀναλήψεως, μαΐῳ, κγ'. Τῆς πεντηκοστῆς, ἰουνίῳ, β'. Τῶν ἁγίων πάντων, ἰουνίῳ θ'. Ἡ νηστεία τῶν ἁγίων ἀποστόλων, ἡμέραι, ιθ'. Καὶ ἡ μνήμη αὐτῶν ἡμέρα, σαββάτῳ.

,αφξα'. Ἔτους, ,ζξθ'. Ἰνδικτιῶνος, δ'. Ἡλίου κύκλοι, ιγ'. Σελήνης κύκλοι, α'. Θεμέλιον σελήνης, ιδ'. Ἡ παραμονὴ τῶν χῦ γεννῶν, ἡμέρα, γ'. Κρεοφαγία, ἡμέραι, μζ'. Τὸ τριώδιον ἄρχεται, ἰαννουαρίῳ, κϛ'. ἦχος, α'. ἑωθινὸν, α'. Ἡ ἀποκρέα, φεβρουαρίῳ, θ'. Τοῦ εὐαγγελισμοῦ, τῇ, γ', τῆς, ϛ', ἑβδομάδος. Νομικὸν φάσκα τῇ ἁγίᾳ καὶ μεγάλῃ, τετράδα. Χειστιανῶν πάσχα, ἀπριλλίῳ, ϛ'. Τῆς ἀναλήψεως, μαΐῳ, ιε'. Τῆς πεντηκοστῆς, μαΐῳ, κε'. Τῶν ἁγίων πάντων ἰουνίῳ, α'. Ἡ νηστεία τῶν ἁγίων ἀποστόλων, ἡμέραι, κζ'. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρα κυριακῇ.

,αφξβ'. Ἔτους, ,ζο'. Ἰνδικτιῶνος, ε'. Ἡλίου κύκλοι, ιδ'. Σελήνης κύκλοι, β'. Θεμέλιον σελήνης, κε'. Ἡ παραμονὴ τῶν χῦ γεννῶν, ἡμέρα, δ'. Κρεοφαγία ἡμέραι, λγ'. Τὸ τριώδιον ἄρχεται ἰαννουαρίῳ, ιη'. ἦχος α'. ἑωθινὸν, α'. Ἡ ἀποκρέα φεβρουαρίῳ, α'.

ρίω, α'. Τοῦ εὐαγγελισμοῦ, τῇ ἁγίᾳ καὶ μεγάλῃ, δ'. Νομικὸν φάσκα, τῇ κυριακῇ τῶν βαΐων. Χριστιανῶν πάσχα, μαρτίω, κθ'. Τῆς ἀναλήψεως, μαΐω, ζ'. Τῆς πεντηκοστῆς, μαΐω, ιζ'. Τῶν ἁγίων πάντων, μαΐω, κδ'. Ἡ νηστεία τῶν ἁγίων ἀποστόλων, ἡμέραι, λε'. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρα δευτέρα.

φξγ'. Ἔτος, ζοα'. Ἰνδικτιῶνος, ις'. Ἡλίου κύκλοι, ιε'. Σελήνης κύκλοι, γ'. Θεμέλιον σελήνης, ς'. Ἡ παραμονὴ τῶν Χριστοῦ γεννῶν, ἡμέρα, ε'. Κρεοφαγία, ἡμέραι, μβ'. Τὸ τριῴδιον ἄρχεται, ἰαννουαρίω, λα'. ἦχος, δ'. ἑωθινόν, δ'. Ἡ ἀποκρέα, φεβρουαρίω, ιδ'. Τοῦ εὐαγγελισμοῦ, τῇ πέμπτῃ, τῆς ε', ἑβδομάδος. Νομικὸν φάσκα, τῷ ἁγίῳ, καὶ μεγάλῳ σαββάτῳ. Χριστιανῶν πάσχα, ἀπριλλίω, ια'. Τῆς ἀναλήψεως, μαΐω, κ'. Τῆς πεντηκοστῆς, μαΐω, λ'. Τῶν ἁγίων πάντων, ἰουνίω, ς'. Ἡ νηστεία τῶν ἁγίων ἀποστόλων, ἡμέραι, κβ'. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρα, γ'.

φξδ'. Ἔτος, ζοβ'. Ἰνδικτιῶνος, ζ'. ἀδίσεκτος. Ἡλίου κύκλοι, ις'. Σελήνης κύκλοι, δ'. Θεμέλιον σελήνης, ιζ'. Ἡ παραμονὴ τῶν Χριστοῦ γεννῶν, ἡμέρα, παρασκευή. Κρεοφαγία ἡμέραι, μδ'. Τὸ τριῴδιον ἄρχεται, ἰαννουαρίω, κγ'. ἦχος, α'. ἑωθινόν, α'. Ἡ ἀποκρέα, φεβρουαρίω, ς'. Τοῦ εὐαγγελισμοῦ, τῷ σαββάτῳ τοῦ λαζάρου. Νομικὸν φάσκα, τῇ ἁγίᾳ καὶ μεγάλῃ, ε'. Χριστιανῶν πάσχα, ἀπριλλίω, β'. Τῆς ἀναλήψεως, μαΐω, ια'. Τῆς πεντηκοστῆς, μαΐω, κα'. Τῶν ἁγίων πάντων, μαΐω, κη'. Ἡ νηστεία τῶν ἁγίων ἀποστόλων ἡμέραι, λα'. Καὶ ἡ

Τῶν

μνήμη αὐτῶν, ἡμέρα ε'.

α,φξε'. Ἔτος, ζογ'. Ἰνδικτιῶνος, η'. Ἡλίου κύκλοι, ιζ'. Σελήνης κύκλοι, ε'. Θεμέλιον σελήνης, κη'. Ἡ παραμονὴ τῶν Χριστοῦ γεννῶν, ἡμέρα, κυριακή. Κρεοφαγία ἡμέραι, ξγ'. Τὸ τριῴδιον ἄρχεται φεβρουαρίω, ια'. ἦχος, πλ. α'. ἑωθινόν, ε'. Ἡ ἀποκρέα, φεβρουαρίω, κε'. Τοῦ εὐαγγελισμοῦ, τῇ κυριακῇ, τῆς γ', ἑβδομάδος. Νομικὸν φάσκα, τῇ ἁγίᾳ καὶ μεγάλῃ, δ'. Χριστιανῶν πάσχα, ἀπριλλίω, κβ'. Τῆς ἀναλήψεως, μαΐω, λα'. Τῆς πεντηκοστῆς, ἰουνίω, ι'. Τῶν ἁγίων πάντων, ἰουνίω, ιζ'. Ἡ νηστεία τῶν ἁγίων ἀποστόλων, ἡμέραι, ια'. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρα, ς'.

α,φξς'. Ἔτος, ζοδ'. Ἰνδικτιῶνος, θ'. Ἡλίου κύκλοι, ιη'. Σελήνης κύκλοι, ς'. Θεμέλιον σελήνης, θ'. Ἡ παραμονὴ τῶν Χριστοῦ γεννῶν, ἡμέρα, β'. Κρεοφαγία, ἡμέραι, με'. Τὸ τριῴδιον ἄρχεται, φεβρουαρίω, γ'. ἦχος, α'. ἑωθινόν, α'. Ἡ ἀποκρέα, φεβρουαρίω ιζ'. Τοῦ εὐαγγελισμοῦ τῇ δευτέρᾳ τῆς πέμπτης ἑβδομάδος. Νομικὸν φάσκα, τῇ κυριακῇ τῶν βαΐων. Χριστιανῶν πάσχα, ἀπριλλίω, ιδ'. Τῆς ἀναλήψεως, μαΐω, κγ'. Τῆς πεντηκοστῆς, ἰουνίω, β'. Τῶν ἁγίων πάντων, ἰουνίω θ'. Ἡ νηστεία τῶν ἁγίων ἀποστόλων, ἡμέραι, ιθ'. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρα σαββάτῳ.

α,φξζ'. Ἔτος, ζοε'. Ἰνδικτιῶνος, ι'. Ἡλίου κύκλοι, ιθ'. Σελήνης κύκλοι, ζ'. Θεμέλιον σελήνης, κ'. Ἡ παραμονὴ τῶν Χριστοῦ γεννῶν, ἡμέρα, τρίτη. Κρεοφαγία, ἡμέραι, [illegible] Τὸ τριῴδιον ἄρχεται, ἰαννουαρίω, [illegible] ἦχος, πλ. δ'. ἑωθινόν, ια'. Ἡ [illegible]

A A [illegible]